ἐστὶ μὴ ὂν τοιοῦτον ὡς τὸ τῇ ἀληθείᾳ καὶ τῷ φαινομένῳ. οἷον, τὸ μηδαμῇ μηδαμῶς δοκοῦν; ἀλλὰ μὴ ὅσον καθ' ἑαυτό, οὐ δὲ ὅσον κατὰ τὸν δοξάζοντα καὶ διὰ τὸ φαινόμενον. προηρημένοι δ' εἰσὶ τὰ μὲν ἐλέγχου δύο. νῦν προπίθεται λέγειν περὶ τῶν τρόπων τῶν παραλογισμῶν. δ' ἑνὶ δὲ καὶ τριῶν αὐτῶν ὄντων, δύο τρόπους αὐτῶν ἤγουν φησὶ. εἶτα δ' αὐτὴν εἴδους τρόπον παραλαμβάνων. καὶ ἔστι τρόπον τινὰ λέγων οὕτως. ὅτι εἰσὶ τῶν σοφιστικῶν ἐνοχλήσεων εἰσὶ δύο. καὶ τὸ μὲν τῶν εἰδώλων ἐξ τρόπου; περιέχει. τοὺς περὶ τὴν λέξιν λεγομένους. τὸ δὲ ἕτερον ἑπτά. οὓς ἐξῶ καλεῖ τῆς λέξεως εἰσὶ δὲ οἱ περὶ τὴν λέξιν τοιοῦντις τὴν φαντασίαν. ὁμωνυμία. ἀμφιβολία. σύνθεσις. διαίρεσις. προσῳδία. σχῆμα λέξεως. οἱ δ' ἔξω τῆς λέξεως, εἷς μὲν ὁ περὶ τὸ συμβεβηκός. β' ὁ παρὰ τὰ ἁπλῶς ἢ μὴ τὸ ἁπλῶς, ἀλλὰ πῆ ἢ ποῦ ἢ πότε ἢ πρός τι λέγεσθαι ἢ μὴ κυρίως προσαγορεύομενον. γ' δὲ ὁ περὶ τὴν τοῦ ἐλέγχου ἄγνοιαν. δ' ὁ παρὰ τὸ ἑπόμενον. ε' ὁ περὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ς' ὁ περὶ τὸ τὰ μὴ αἴτια ὡς αἴτια τιθεῖσθαι. ζ' ὁ περὶ τὸ πολλὰ ἐρωτήματα ἓν ποιεῖν. ἔστι δὲ ἡ τῶν ὄντων αὐτὰ τὰ διαίρεσις εἰς φωνὰς ἔστι καὶ πράγματα. καὶ τούτων τὰ μὲν εἰσὶ λεκτά. τὰ δὲ τυγχάνοντα. λεκτὰ μὲν αἱ φωναὶ τυγχάνοντα δὲ τὰ πράγματα. καὶ ἡ τῶν σοφιστικῶν ἐλέγχων διαίρεσις, τὴν περὶ τὴν ἔχει διαίρεσιν, ἡ περὶ φωνὰς ἢ περὶ πράγματα. ἑκάτερον δὲ τούτων εἰς πλείονα διαιρεῖται. καὶ εἰ μὲν περὶ φωνάς, περὶ τοσαύτας ἔσονται οἱ παρὰ τὴν λέξιν ἐξ τῶν σοφισμάτων τρόποι. εἰ δὲ περὶ πράγματα, οἱ τῶν ἔξω τῆς λέξεως λοιποὶ ἑπτὰ τρόποι. πρῶτον μὲν οὖν λεκτέον περὶ τῶν περὶ τὴν λέξιν σοφιστικῶν τρόπων. ὕστερον δὲ περὶ τῶν ἔξω τῆς λέξεως. ἀναγκαῖον τοίνυν τὰ περὶ τὴν λέξιν σοφίσματα περὶ φωνὰς ὄντα, ἢ ἐκ τῶν κατ' αὐτὰς εἶναι, ἢ ἐκ τῶν περὶ αὐτάς. καὶ εἰ μὲν ἐκ τῶν κατ' αὐτάς. ἢ ἐκ τῶν ἁπλῶς διάφορα πράγματα περιεχουσῶν, καὶ γίνεται τὸ πρῶτον εἶδος τῶν ἐρημμένων παραλογισμῶν τὸ κατὰ τὴν ὁμωνυμίαν. ἢ ἐκ τῶν συνθέτων φωνῶν ὁμοιοτρόπως διάφορα πράγματα περιεχουσῶν, καὶ ἀπετελεῖτο τὸ β' εἶδος τὸ κατὰ τὴν ἀμφιβολίαν. τέσσαρες δὲ εἰσὶ τρόποι, ἐξ ὧν τὰ δύο ταῦτα συνίστασθαι εἴωθε. πρῶτος μέν, ὅταν ὁ λόγος. ἢ τὸ ὄνομα πλείω σημαίνει, ὃς καὶ κοινὸς ἐστὶν ἀμφοῖν ἐπίστης ὡς μαθησόμεθα. β' δὲ ὅταν εἰωθότες ὧδε οὕτω λέγειν. πόδε ἐστὶ τὸ εἰωθότες ὧδε οὕτω λέγειν; ὅτε τὴν λέξιν ἐσκευασμένα, δηλοποιήσεται. τοῦτ' καὶ οὗτος κοινός ἐστιν ἀμφοῖν ὡς καὶ ὁ πρὸ αὐτοῦ. γ' δὲ ὅταν τὸ συνθεὶς πλείω σημαίνῃ, κεχωρισμένου δέ, ἁπλοῦν ἐστιν, ὃς τρόπος ἴδιος ἐστὶ, τοῦ κατὰ ἀμφιβολίαν μόνου. δ' δὲ ὁ αὐτὸς τρόπως τοῦτ' ἔχων, νικᾷ τὸ μὲν σύνθετον ἐν σημαίνει, ἀλλ' ὅταν ἐλέγχειν ἢ γοῦν ὡς αὐτὸν ἐλέγχειν τὸ τὰς ἁπλῶς φωνὰς διατρέπεις διάφορα πράγματα περιεχούσας. καὶ τελεῖται τοὺς εἰρημένους δύο τρόπους τῶν σοφισμάτων. ἢ τὰς αὐτοῖς συντίθησι καὶ τι ἐπόμενον ἐκ τῆς συνθέσεως τῆς ὅλης φωνῆς λαμβάνει, καὶ τρίτον τὸ κατὰ σύνθεσιν γ' εἶδος τῶν ἐν λέξει, ἢ αὐτισρόφως τοῦτο, καὶ τρίτον τὸ κατὰ τὴν διαίρεσιν. ἀλλ' ἐκ μὲν τῶν κατ' αὐτὰς τὰς λέξεις σοφιστικῶν τρόπων,

Fallaciarú fiue paralogismorú .13. nomina

Suprema entuú diuisio in uoces & res. & uoces quidem sunt duabiles, res uero existentes

ελεγομεν

ff. απλας

ff.

ταῦτα συνίστανται τὰ σοφίσματα. ἐκ δὲ τῶν περὶ αὐτὰς, ἕτερα δύο συνίστανται. ἢ γὰρ περὶ τὸν τόνον, ἢ καὶ τὸ πνεῦμα, καὶ τρίτον τὸ περὶ προσῳδίαν, ἢ περὶ τὴν τοίαν σχέσιν τοῦ σχηματισμοῦ τῆς λέξεως, καὶ τρίτον τὸ περὶ τὸ σχῆμα καλούμενον εἶδος τῆς λέξεως. καὶ οὗτοι μὲν οἱ ἐκ τῶν λεκτῶν τρόποι ζ'. ὡς δὲ καὶ ὅθεν ἕκαστος τούτων συνίσταται, παρακαθίζοντες ὁρίσομεν. καὶ διὰ παραδείγματος τὸ σκοτεινὸν τοῦ λόγου διαφωτίσομεν. τούτου δὲ αἰτία ἡ διὰ τῆς ἐπαγωγῆς. ἔφησεν ἐν τοῖς ἄνω ὅτι ἓξ εἰσὶ μόνοι τρόποι τῶν περὶ τὴν λέξιν σοφισμάτων. οὐδεὶς ἕτερος, καὶ τὸν ἑαυτοῦ λόγον πιστούμενον, ὅτι οὔτε πλείους οὔτε εἰσὶ τῶν ἓξ λέγονται, οὔτε ἐλάττους φησί. πίστις δὲ τοῦ ἓξ εἶναι αὐτοὺς, καὶ μὴ τὸν ἀριθμὸν τοῦτον ὑπερβαίνειν ἢ ἐπαγωγή ἢ τις παρέμοιρος ἕτερον ἐπαχθήσεται, ἐκτιθεὶς τοὺς περὶ τὴν λέξιν σοφισμοὺς καὶ πᾶν ὁ αὐ εἴη ἕτερον σόφισμα γινόμενον ἐκ τῆς λέξεως εἰς τούτους ἀπάγουσα. καὶ ὁ συλλογισμὸς, αὖτε ληφθῇ, ἕτερος. ἕτερον δὲ λέγει τοὺς προσυλλογισμοὺς ἑκάστας τῶν προτάσεων τοῦ παρόντος τιθεμένου συλλογισμοῦ. καὶ αὖτος οὗτος ὁ προσεχῶς τοῖς λεγομένοις παρὰ τοῦτο τιθέμενος, εἰ καὶ ἀσαφῶς καὶ οἷον εἰπεῖν ἀπλῶς μάτων ὡς πᾶς δὲ ταῦτα ἔχει, λεκτέον τοῦ σαφοῦς ἕνεκα. ὁ συλλογισμὸς ἐν ᾧ σχήματι γίνεται καὶ ᾧ τρόπῳ τοῦ ᾧ σχήματος, ὁμοίως καὶ ἑκάτερος προσυλλογισμὸς ἑκατέρας προτάσεως ἔχει δ' ὁ συλλογισμὸς οὕτως ὡς καὶ γαλκὸς φησὶ τὰ περὶ τὴν λέξιν σοφίσματα. γίνεται περὶ ὃ μὲν τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι. πάντα τὰ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα, ἐξ ἁπλῶς συμβαίνει γίνεσθαι. πάντα ἄρα τὰ περὶ τὴν λέξιν σοφίσματα, ἐξ ἁπλῶς συμβαίνει γίνεσθαι. τοιοῦτος μὲν οὖν ὁ συλλογισμὸς ἄλλον δὲ συλλογισμὸν λέγοιεν, ὃν κατασκευάζοντα τὴν μείζονα προτάσιν τὴν λέγουσαν, ὅτι πᾶν ὃ μὴ τὸ αὐτὸ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα, ἐξ ἁπλῶς συμβαίνει γίνεσθαι. ἔτι δὲ κατασκευάζοντα τὴν ἐλάττονα τὴν λέγουσαν, τὰ περὶ τὴν λέξιν σοφίσματα γίνεται περὶ ὃ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι. ἐδείκνυται δὲ ἡ ἐλάττων αὐτῆ προτάσις, αὖ ληφθῇ μέσος ὅρος. τὰ παρὰ τὴν κακίαν τῆς λέξεως. καὶ εἰ αὖ ὁ συλλογισμὸς ὁ τὴν ἐλάττονα προτάσιν κατασκευάζων, οὗτος τὰ σοφίσματα εἰς τὴν κακίαν τῆς λέξεως γίνεται. τὰ περὶ τὴν κακίαν τῆς λέξεως γινόμενα πάντα περὶ ὃ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι γίνονται. τὰ ἄρα σοφίσματα περὶ ὃ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι γίνονται. ὁ περὶ δὲ συμπερασμα ἢ ἐλάττων ἤγουν εἴρηται πρότασις ἢ προηγουμένου συλλογισμοῦ καὶ ἡ μείζων ὁμοίως δείκνυται τῷ ληφθῆναι μέσον τὸ, ἢ δυνάμει ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ. ἔστι δὲ καὶ οὗτος ὁ συλλογισμὸς κατασκευάζων τὴν μείζονα τοιοῦτος. ὁ λόγος καὶ τοῦνομα τὸ διττὸν ἔχει, τοῦτ' ἔστιν οὐ τὸ αὐτὸ δηλοῖ. πᾶν δὲ διττὸν ἐν ὀνόματι καὶ λόγῳ. ἢ δυνάμει ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ. τὸ δὲ δυνάμει ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ διλαμβανόμενον, ἐξ ἁπλῶς συμβαίνει γίνεσθαι. καὶ

Legendu μείζονα

Habet m cod. scr. g. Idem puto ualere & in 9 secunda syllogismi propositione

σοφισμοί

Prosyllogismi

Galenus

Videtur legendum δὲ μείζονα

ff. πδα

ff. πδα

ff. πδα

ff. πδα

μέσος ὅρος medius termin

ἐλάττων

Videtur tribui maiori quę tribuenda sunt minori & econuerso per errorem librariorum

B 2

τὸ συμπέρασμα δῆλον. λεχθέν δ' αὖ σαφέστερον ὁ συλλογισμὸς ἢ οὗ πρότερον δῆλον ὅτι ταὐτὰ τὰ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα, ἐξαχῶς συμβαίνει γίνεσθαι, ἢ ταὐτὸν ἢ δυνάμει ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ τὸ διπλοῦν ἔχειν. ταὐτὰ δὲ τὰ οὕτως ἔχοντα ἐξαχῶς συμβαίνει γίνεσθαι. καὶ διὰ τοῦτο τὰ μὴ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλούμενα, ἐξαχῶς συμβαίνει γίνεσθαι. οὐκοῦν κοινὸν πᾶσι συμπεράσματί ἐστι, τὸ, τὰ πρὸς τὴν λέξιν σοφίσματα ἐξαχῶς γίνεσθαι συμβαίνει. καὶ τὰ μὲν τῶν συλλογισμῶν τοιαῦτα. ἐνέργεια μὲν οὖν τὸ διπλοῦν ἔχοιεν οἱ πρὸς τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν σοφίσματα. ἐν ὀνόματι μὲν οἱ πρὸς τὴν ὁμωνυμίαν. ἐν λόγῳ δὲ οἱ πρὸς τὴν ἀμφιβολίαν. ἐνέργεια γὰρ τῷ ὅτι δύο σημαίνει, ὅταν τῷ ὀνόματι τὸ δύο σημαίνῃ· τό τε γὰρ κύριον ὄνομα οὐχ ἑνός ἐστι δηλωτικόν. ἀλλὰ καὶ τὸ ἅπαξ ἐστὶ σιγῶντα λέγειν, οὐχ ἑνὸς ἀλλὰ δύο δυνάμει δὲ τὸ διπλοῦν ἔχουσιν, οἱ πρὸς τὴν προσῳδίαν καὶ τὴν στίξιν καὶ τὴν διαίρεσιν. οὔτοι γὰρ μείω μὲν οὐ σημαίνουσιν, ἀλλὰ ταὐτὸν ἕν· διὰ δὲ τὸ ἑκατέρως ἔχεσθαι, διπλοῖ λέγεσθαι διὸ καὶ δυνάμει φάμεν αὐτούς. τοιοῦτον γὰρ τὸ δυνάμει τὸ γὰρ ὅρος ἕστηκεν, ἐνεργείᾳ μὲν οὐδενός ἐστι δηλωτικόν ἐκφωνούμενον μόνως. γραφὴν δὲ δύναται πολλῶν γίνεσθαι δηλωτικόν, ἢ δασείας ἢ ψιλῆς πεθεμένης ἐν τῷ ὅρος. πῶς δὲ καὶ οἱ πρὸς τὴν σύνθεσιν καὶ τὴν διαίρεσιν δυνάμει τὸ διπλοῦν ἔχουσιν, προϊόντες εἰσόμεθα. φαντασίᾳ δὲ τὸ διπλοῦν ἔχουσιν οἱ πρὸς τὸ σχῆμα τῆς λέξεως. τοῦ γὰρ ὁρᾶν καὶ λέγω ὁμοίως ἐκφερομένου, φασὶν οἱ σοφισταί, ἆρα οὐχὶ τὸ ὁρᾶν καὶ λέγειν ὁμοίως λέγεται; ναί· ἔστι δὲ τὸ λέγειν καὶ ἐνεργεῖν· καὶ τὸ ὁρᾶν ἆρα· ἀλλὰ μὴν ἔστι καὶ πάσχειν τὸ ὁρᾶν· εἴπερ συγκρίσει καὶ διακρίσει τῶν ἀληθῶν ἢ αὐτίληψις τῶν ἀληθῶν γίνεται· πολλὴν δὲ τὴν ἀσάφειαν ὁ ἀριστοτέλης ἐποίησε τῷ συλλογισμὸν ἐκτιθεὶς· σαφηνιοῦσι δὲ ἡ λέξις αὕτη, αὐτὴν ἀναλαβοῦσιν ἡμῶν. ἔστις ἐστὶ τοῦ ἓξ ἄνευ τὸν ἀριθμὸν τὰ πρὸς τὴν λέξιν σοφίσματα ἢ ἐπαγωγὴ καὶ ὁ συλλογισμός, αὐτε ληφθῇ τις ἄλλος. ἄλλον συλλογισμὸν ὡς πρὸ λέγων τοῖς προσυλλογισμοῖς, τοῖς τὴν μείζονα καὶ ἐλάττονα προτάσιν σώζουσιν. τὸ δὲ καὶ ὅτι τοσαῦτα χῶς αὐ τοῖς ὀνόμασι τοῖς αὐτοῖς καὶ λόγοις δηλούμενον ἐξαχῶς συμβαίνει γίνεσθαι ἐγένετο δ' αὖ τὴν ἀσάφειαν, ἐκ τοῦ ταὐτὸν δὴ μόνην δεῖναι τὴν πρότασιν τὴν δὲ ἐλάττονα καὶ τὸ συμπέρασμα καὶ τοῖς προσυλλογισμοῖς ἀφεῖναι εἰσὶ δὲ πάντες τὴν ὁμωνυμίαν οἱ τοιοῦτοι τῶν λόγων. ἄρχεται τῶν παρὰ τὴν λέξιν σοφισμάτων καὶ πάντων ἑκάστων ἐξ ὑποθέσεων παραδείγματα, καὶ πρῶτον τῶν παρὰ τὴν ὁμωνυμίαν· εἰσὶ δὲ οἱ πρὸς παράδειγμα ληφθέντες αὐτῷ τοῦ ἐξ ὁμωνυμίας παραλογισμοῦ σοφισμοὶ τέσσαρες. ἃ συμπεράσματα τὸν αὐτὸν μόνα ἀγει αὐτὸ μόνα. β ὁ τὰ κακὰ ἀγαθά, καὶ ὁ πρὸν καθήμενον ἑστηκέναι. καὶ ἐπὶ ὁ πρὸν κάμνοντα ὑγιαίνειν. εἴωθε δὲ ἀεὶ ἐπάγειν τὸ συμπέρασμα τὸ σοφιστικόν, καὶ τὸ τε τιθέναι καὶ τὸν συλλογισμόν. τὸ γὰρ μανθάνοντας οἱ αὐτὸ λαμβάνοντες, τοῦτο ἐστὶ τὸ συμπέρασμα. καὶ ἔοικε λαμβάνειν αὐτὴ τῶν αὐτὸ λαμβανόντων τοὺς γραμματικούς,

Ἀλλ' ἐπὶ τοῦ ὁμωνύμου τι .: vacat .. πρὸς

ἀ σοφισμοὶ πτ ρητο legend

ὑγιὰ

δυνάμει

Circa prosodiam

Circa phátasia

συγχρίσει διακρίσει

Multa hic uerba desunt ex codi. Scripto

συμπαίνων concludens. colligens

συγχρίσει καὶ διακρίσει τῶν αὐτῶν ἢ αὐτίληψις τῶν αὐτῶν γίνεται

† πάλιν nomen aduerbium. duo significant & proprium & dominum

λόγος δὲ ὅλος συλλογισμὸς ἔχων ἀν οὕτω ταρόων οὐ οἱ λαμβανόμενοι ἀποσυμπαίνουσι

εἰς ἐλέγχους ἀσόφων μείωσεις

καὶ τὴν ἐλάττονα παραλιμπάνειν πρότασιν, τὴν, ὅτι οἱ γραμματικοὶ ἀσόφως μανθάνουσι· ναί. οἱ δ' ἀσόφως μανθάνοντες μανθάνουσι. ναί. οἱ ἄρα λαμβάνοντες μανθάνουσι. λύων οὖν τὸν τοιοῦτον παραλογισμὸν, φησὶν ὅτι, τὸ μανθάνειν ὁμώνυμόν ἐστι διττόν· τὸ μὲν λεγόμενον τοῦ χρωμένου τῇ λήψει καὶ ξυνιέντος, καὶ σημαῖνον τὸ νοεῖν. ὥσπερ εἰώθαμεν λέγειν, μανθάνω τὰ λεγόμενα αὐτῇ γνώμῃ· τὸ δὲ πιθέμενον τοῦ λαμβάνοντος τῇ μνήμῃ καὶ ξυνιέντος, ἐξ ἀγνοίας ἀγόμενον εἰς γνῶσιν καὶ μὴ εἰδότας μέχρι τοῦ νῦν. διὸ πάντας φάμεν τοὺς λαμβάνοντας καὶ μανθάνειν δὲ κατὰ τὸ ἀναλαμβάνειν τὴν λῆψιν. τὸ δὲ σόφισμα ὡς ἐν προοιμίοις εἰρήκαμεν ἐκ τοῦ πλάτωνος ἐλήφθαι, ἔχον οὕτως· ἐρώτα ὁ δυὸ δύο ἡμᾶς τὸν κλεινίαν. ὦ κλεινία. πότεροι τὰ αὐτὰ μανθάνουσιν οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς· οἱ σοφοὶ ἔφη ὁ κλεινίας, καὶ ὁ δυὸ δύο ἡμᾶς, εἰσὶ δι' ἀσκαλοι; ναί. τίνων; τῶν μανθανόντων. τί δέ, οἱ μανθάνοντες οἷον σύ. ἢ οὐκ ἔστασθ' ἃ ἐμανθάνετε; οὐ δῆτα. ἆρα σοφοὶ ἦτε τότε ταῦτα οὐκ ἦτε; οὐδαμῶς. οὐκοῦν εἰμὶ σοφὸς, ἀμαθὴς πάνυ. οἱ ἀμαθεῖς ἄρα ὦ κλεινία μανθάνουσιν, ἀλλ' οὐχ οἱ σοφοί· ἔτα πάλιν ἐπεχείρει εἰς τοὐναντίον ὁ δυὸ δύο ἡμᾶς. λέγε ὦ κλεινία, ὁπότε ἀσόφως πράττει ἡμῶν ὁ γραμματιστὴς, πότεροι τὰ πάνδ' ἐμανθάνομεν τὰ ἀσόφως πραττόμενα, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; οἱ σοφοὶ. οἱ σοφοὶ ἄρα μανθάνουσιν οὐχ οἱ ἀμαθεῖς. ἐν μὲν δὴ τῷ παραλογισμῷ ὁ μὲν κλεινίας τὸ μανθάνειν δέδωκεν τοῦ ξυνιέναι καὶ νοεῖν τὰ λεγόμενα. ὁ δὲ δυὸ δύο ἔλαβεν ἐξ ἀσυνησίας καὶ ἀγνοίας εἰς τὴν μνήμην καὶ γνῶσιν ἄγεσθαι. τοῦ δὲ β αὖ πάλιν. ἀνὰ τοιοῦτος μὲν ὁ εἰρημένος παραλογισμός. ὁ δὲ τὰ κακὰ ἀγαθὰ συμπεράσματα τοιοῦτος. ἐλήφθαι μὲν καὶ ἐνταῦθα πρότερον τὸ συμπέρασμα τὸ, ὅτι τὰ κακὰ ἀγαθά· σωθεὶς δὲ καὶ ἃ δυὸ προτάσεις ἔχει δὲ οὕτως· οὐχὶ τὰ κακὰ δέοντά ἐστί; ναί. οὐχὶ τὰ δέοντα ἀγαθὰ ἐστί. ναί. τὰ ἄρα κακὰ ἀγαθά. καὶ οὕτος οὕτω ὁ παραλογισμὸς πρὸς τὸ διπλοῦν. σημαίνει δὲ καὶ τὸ ὠφέλιμον καὶ τὸ καλόν. οἷον δέοντα δίκαια φρονεῖν ἢ πρὸς καλόν. ὁμοίως καὶ τοῖς νόμοις πείθεσθαι ἢ τοῖς γονεῦσι. σημαίνει γὰρ τὸ δέον καὶ τὸ ἀναγκαῖον, καθὸ φαμὲν, δέον τὸ γινόμενον φθαρῆναι, αὐτὶ τοῦ ἀναγκαῖον. σημαίνει τὸ δέον καὶ τὸ σύμφερον. δέον γὰρ φαμὲν ἢ τοι σύμφερον γυμνάσασθαι κρᾶσθαι τοῖς δὲ τριχῶς οὕτω λεγομένου τοῦ δέοντος, ὁ ἀριστοτέλης τὸ ἓν σημαινόμενον παραιρεῖς, τὸ κατὰ τὸ σύμφερον, ἐκ τῶν δύο ἐμφαίνει τὰς μοχθηρίας τῶν παραλογισμῶν. ἐν μὲν οὖν τῇ ἐλάττονι προτάσει τῇ λεγούσῃ τὰ κακὰ δέοντα, τὸ δέον αὐτὶ ἀναγκαῖον εἰλήφθαι. μαστίγες γὰρ καὶ πληγαὶ καὶ σφαγαὶ καὶ ἄλλα πάνυ καλὰ ὄντα, ἀναγκαῖα τυγχάνει πρός τινας λῆξας καὶ φυγὰς. ἐν δὲ τῇ μείζονι αὐτὶ τοῦ ἀγαθοῦ εἰλήφθαι, καὶ πρὸς τοῦτο, τὸ κακὸν ἓν ἄνευ ἀγαθὸν συμπεράσασθαι. εἰ οὖν τις διέλοι τὸ δέον. καὶ τοῦτου, τὸ μὲν, ἔφησεν εἶναι ἀναγκαῖον· τὸ δὲ, ἀγαθὸν, ἔπειχεν ἂν τὸν σοφιστὴν ἐπαγαγεῖν τὸ συμπέρασμα. διὰ τὸ μὴ τὸ ἀναγκαῖον δέον, ἢ τοι τὴν τομὴν καὶ τὴν καῦσιν τὴν ἐξ ἀνάγκης ἐπαγομένην, τῷ ὑγιαίνοντι, ἀγαθὸν εἶναι φῶ· ταῦτα γὰρ ἡ τομὴ φημὶ καὶ ἡ καῦσις, καθ' ἑαυτὰ τυγχάνουσι

Plato

συμπαίνων concludens

δέον. δια σημαίνει

Λεγεί ὁ μανθάνων. λεγεί μανθάνων μὲν κατὰ τὸ χρᾶσθαι τῇ ἐπιστήμῃ ἢ σωτηρίαν, ὁ μανθάνων. ἐς codi. scrip.

.l. πρὸ

δῆλον

ω πρὸ

ll. ἐλάττονι

ll. χρᾶσθαι

ὄντα κακά; γέγονε τοίνυν ὁ παραλογισμὸς διὰ τὸ μέσον ὅρον, ἄλλον κἀ ἄλλον λαμβανόμενον. τοιοῦτόν ἐστι καὶ οὗτοι. οὐχὶ ὁ κοραξ πτηνόν ἐστιν· πτηνὸν δὲ οὐχὶ τὸ ὄργανον ὃ κλείομεν τὰς θύρας, κοραξ ἐστίν; τὸ ὄργανον ἄρα πτηνόν ἐστιν· ὁμοίως γὰρ τὸ κοραξ. καὶ πάλιν οὐχὶ ἀετὸς πτηνόν ἐστί; ναί· πτηνὸν δὲ οὐχὶ ὁ ἰχθὺς ἀετός ἐστιν· ὁ ἰχθὺς ἄρα πτηνόν ἐστιν. ἔστι δὲ καὶ τὰ ἐξῆς δύο παραλογισμοῦ ἐξ ὁμωνυμίας παραδείγματα ἐπὶ τὸν αὐτὸν καθῆσθαι καὶ ἱστᾶναι καὶ κάμνειν καὶ ὑγιαίνειν. καὶ τοιαῦτα πρόχειρα τινα τὰ συμπεράσματα εἰσὶ τῶν παραλογισμῶν. αἱ δὲ ἀγωγαὶ τῶν σοφισμάτων τοιοῦτόν τινες εἰσὶν οἷον οὐχὶ ὁ καθήμενος ἀνίσταται; ναί· πῶς δὲ οὐχ ὁ ἀνιστάμενος ἕστηκε; καὶ πῶς γάρ οὐ; ὁ ἄρα καθήμενος, ἕστηκε. πάλιν οὐχὶ ὁ ὑγιαζόμενος ὑγιαίνει, ὁμολογοῦμεν· οὐχὶ ὁ κάμνων ὑγιάζεται; ναί· ὁ ἄρα κάμνων, ὑγιαίνει. ὅπερ ἄτοπον ἐν ἑκατέρῳ τούτων τῶν συλλογισμῶν, τὴν ἀπάτην μείζων ἔχει πρόπασις. τὸ γὰρ τὸν ἀνιστάμενον ἑστηκέναι καὶ τὸν ὑγιαζόμενον ὑγιαίνειν, δῆλον· τὸ μέν, ὅτι πάσχει τι ἀνίστασθαι καὶ ἕστηκε ἐστί. καὶ ἄμα ἤρξατο ὑγιάζεσθαι, καὶ ὑγιεινός ἐστιν· ἄπορον δὲ τοῦτο. ἀμφοῖν γὰρ εἰσί· τὸ δέ, ὅτι ἐνδέχεται τὸν πρότερον ὑγιαζόμενον, καὶ πρότερον ἀνιστάμενον, νῦν ὑγιαίνειν καὶ ἱστάναι. ἐφ' ᾧ γε πάσχει καὶ τὸ ναὶ φατέον. διὸ κατὰ μὲν τὸ ἑστηκέναι τὸν ἀνιστάμενον ὅτε ἤρξατο ἀνίστασθαι, ἐπὶ τοσοῦτον, καὶ οὐδὲν ἐπ' αὐτῷ συγχωρεῖν τὸ ναί. κατὰ δὲ τὸν νῦν ἑστηκέναι τὸν πρώην ἀνιστάμενον, τὸ δυνατόν, καὶ δεῖ ἐπ' αὐτῷ συγχωρεῖν τὸ ναί· ὁμοίως καὶ ἐπὶ τῷ τὸν ὑγιαζόμενον ὑγιαίνειν. τὸ μὲν γὰρ ὅτε ἤρξατο ὑγιάζεσθαι πάσχει καὶ ὑγιαίνει, ἀδύνατον καὶ οὐ συγκαταθέσθαι τῷ λέγοντι. τὸ δὲ ὅτι ὁ ἀφ' ἱσταμένου ὑγιαζόμενος ὑγιαίνει, ἀληθὲς καὶ ἐπὶ τοῦτο συγκαταθέσθαι, οὐκ ἄλλον πρὸς ἄλλο τὴν ὁμωνυμίαν ἐν τοῖς λόγοις ποιοῦντα ὁ ἔλεγχος, ἢ καὶ τὴν ἀμφιβολίαν· κοινωνοῦσι γὰρ αὗται ἀλλήλαις· ὡς ὅπερ καὶ πρότερον εἴρηται, καὶ πρὸ ὄντες μαθησόμεθα, ὡς ἔχει καὶ τὸ νῦν προβαλλόμενον. ἆρ' οὐχ ὁ δίκαιος χρᾶται τῷ ὄργῳ τοῦ νομοθέτου· ναί· πῶς δ' οὐχ ὁ χρώμενος τῷ τινος ὄργῳ ἀρχιτεκτονεῖ ἐκείνου λέγεται, ὡσαύτως γε· ὁ δίκαιος ἄρα τοῦ νόμου ἀρχιτεκτονεῖ. δῆλον γὰρ καὶ τοῦτο τὸ χρῆσθαι τῷ τινος ὄργῳ· τὸ μέν, ὡς ὀργανικῶς· ὅπερ οὐκ ἔστιν οὗ ἕνεκα τοῦ δικαίου· τὸ δέ, ὡς ἀρχῆς τῆς οἰκείας συστάσεως, ὅπερ οὐκ ἐκώλυτο· καὶ διὰ τοῦτο τὸν τὸν νομοθέτην ἄγειν καὶ ὑπάγεσθαι αὐτῷ, καὶ ἀρχιτεκτονεῖσθαι ἢ ἀρχιτεκτονεῖν. εἰσὶ δὲ καὶ μείζους καὶ ἐλάττους πρότασεις τῶν παραλογισμῶν, τὰς μὲν μείζους ἐν οἷς λέγει, ὅς ὅπερ ἀνίστατο ἕστηκε καὶ ὃς ὅπερ ὑγιάζετο ὑγιαίνει. τὰς δὲ ἐλάττους ἐν οἷς φησὶ ὁ παυόμενος καθήμενος, καὶ ὑγιάζεται ὁ κάμνων· ἐὰν ἄγει, τὸ γὰρ τὸν κάμνοντα ὁποῦν πιεῖν ἢ πάσχειν οὐκ ἐν σημαίνει. ὅπερ δ' ἂν οἱ ὁποῦκ ἐν ἐστὶ καὶ ἐν σημαίνει, τὸ ὑγιάζεσθαι ὑγιαίνων, καὶ ἀνίστασθαι ἑστηκώς, ἀλλ' ὁμώνυμόν ἐστιν ἑστί δέ, τὸ μὲν πρὶν μνητικὸν τοῦ καθῆσθαι ἢ μᾶλλον τοῦ ἀνίστασθαι, ἢ τάχα καὶ ἀμφότερον, τὸ δὲ πάσχειν, τοῦ κάμνειν. ἂν δ' ᾖ σαφέστερον, εἰ οὕτως ἔχοιτο· τὸ γὰρ ὑγιαίνειν τὸν κάμνοντα, καὶ ἑστηκέναι τὸν ἀνιστάμενον, οὐχ ἓν σημαίνει. διότι ὁ τὲ μὲν, διὰ τοῦ λόγου τοῦ λέγοντος ὅτι

κόραξ duo significare

ἀετὸς aues & piscis

ἀγωγαὶ ὑγιαζομένος

ὑγιάζεσθαι & μὴ ὑγιαίνειν ἀδύνατον

ἀγωγαὶ formulæ

ὁ ὑγιαζόμενος ὑγιαίνει, σημαίνεται ὅτι ὁ ὑγιαζόμενος νῦν ὑγιαίνει, ὅπερ ἐστὶ καὶ ψεῦδος. ἀδύνατον γὰρ ἐστιν, ἐνδόξου ἕξιν ἔχειν τὴν ὑγίειαν τὸν νῦν ὑγιαζόμενον καὶ τὴν ὑγείαν κατ' ὀλίγον προσκτώμενον. ὅτε δὲ σημαίνεται πάλιν διὰ τοῦτο, ὅπως ὑγιάζεσθαι πρὸς δ' ἕκαστον ἡμῶν, τουτέστι πρὸς τὴν ὑγείαν αὐτοῦ, νῦν ὑγιαίνει. ταῦτα δὲ εἰπὼν, ἐπάγει πάλιν ὑγιάζεσθαι μὲν καὶ κάμνων καὶ ὁ κάμνων καὶ τὰ ἑξῆς ἀπορίας λύσις ἐστὶ τῶν σοφισμάτων ἐστὶ δὲ ὃ λέγει τοιοῦτον· ὑγιάζεσθαι μὲν λέγεται καὶ ὁ κάμνων νῦν καὶ ὁ κάμνων πάλαι. ὑγιαίνειν δὲ, οὐχ ὁ νῦν ὑγιαζόμενος ἀλλ' ὅς τις πάλαι ὑγιάζετο. κάμνων δὲ, εἴληπται τῷ ἀριστοτέλει, ὁ νῦν κάμνων. ὁ κάμνων δὲ, ὁ πρὸ τὲ κάμνων. ὑγιαίνει δὲ οὐχὶ ὁ κάμνων νῦν, ἀλλ' ὁ κάμνων πρότερον καὶ οὐ νῦν. ἵνα δὲ καὶ ἐπὶ σαφέστερον γένηται τὸ λεγόμενον ῥητέον οὕτω, καὶ ὁ κάμνων νῦν καὶ ὁ κάμνων πρότερον πρὸς ὑγείαν ἀκλινῶς ἔχει· ὁ δέ, ὅτι πρὸ τοῦ κάμνει πρὸ δὲ τὴν ἀμφιβολίαν οἱ τοιοίδε ἐπιβουλεύσαι λαβεῖν με τοὺς πτολεμίους. πρὸ τοῦ πρὸ τὴν ὁμωνυμίαν γινομένου παραλογισμοῦ καὶ λαβὼν καὶ διδάξας, πῶς γίνεται, μετεισὶ καὶ εἰς τοὺς πρὸ τὴν ἀμφιβολίαν γινομένους παραλογισμοὺς, τῆς ἀκολουθίας ἐχόμενος. καὶ γὰρ καὶ ἐν τῇ ἀναιρέσει τῶν πρὸ τὴν λέξιν σοφισμάτων, δυοῖν ὁδοῖν τὴν ἀμφιβολίαν ἔταξε. σαφῆ δὲ λίαν πάντα τὰ παραδείγματα, καὶ οὐ μόνον οἷα ἔνδεν προβλήματα πρὸ τῶν σοφιστῶν λέγονται, ἀλλ' οἷα εἰκὸς καὶ ἐν λόγῳ μὴ συλλογιζομένου δύρρισκεσθαι τὸ γὰρ βούλεσθαι λαβεῖν με τοὺς πτολεμίους, οὐκ ἔστιν ὡς πρόβλημα. ὅπερ δέ ἐστιν ἀμφίβολον, δῆλον. σημαίνει γὰρ ὁ λόγος, ἢ τὸ ἐμὲ γενέσθαι τῶν πτολεμίων ἢ κρατῆσαι ἢ τοὺς πτολεμίους ἐμοῦ τοιοῦτον ἐστὶ καὶ τὸ, γένοιτο καταβαλεῖν τὸν νῦν ἐμέ· σημαίνει γὰρ ὁ λόγος, ὡς αὐτοὺς ἑλεῖν τε καὶ αἱρεθῆναι. ἢ διαγωγὴ ἢ ἐφεξῆς σοφίσματος τοιαύτη. ἆρα ὃ γιγνώσκει τις, τοῦτο γιγνώσκει· γιγνώσκει δέ τις λίθον, γιγνώσκει ἄρα ὁ λίθος. πάλιν ἆρ' οὖν ὁρᾷ ὁ ὁρᾶτις; ναί, ὁρᾷ δέ τις ξύλον. ὁρᾷ ἄρα τὸ ξύλον. σαφὴς καὶ ἀμφοτέρων ἡ λύσις. δῆλος γὰρ καὶ ἐν ἀμφοτέροις ὁ λόγος, ὁμοίως δὲ τούτοις ἔχει, καὶ τὸ, ἆρα σὺ φῶς εἶναι σὺ φῶς ἆρα εἶ. φῶς δὲ εἶναι λίθον· σὺ ἄρα φῶς εἶναι λίθος. ἔτι καὶ τὸ, ἆρα ἐστὶ σιγῶντα λέγειν· ἔχει γὰρ καὶ τοῦτον ἡ ἀγωγὴ τοῦ σοφίσματος οὕτω. φῶς ὃ σὺ εἶ φῶς; ναί· φῶς δὲ σιγᾷς· σιγᾷς ἄρα φῶς· ἢ καὶ τοὐμπαλιν, φῶς σιγᾷς. τὸ δὲ σοφίσμα τὸ, ἆρα ἐστὶ σιγῶντα λέγειν, οὕτω δυσὶν ἤμισυ ἠρώτα· ἆρ' ἐστὶ σιγῶντα λέγειν; οὐδαμῶς· πῶς δ' ὅταν λίθους λέγεις καὶ ξύλα καὶ σίδηρον, οὐ σιγῶντα λέγεις; ναί· ἐστὶν ἄρα σιγῶντα λέγειν. εἶτα πάλιν ἅπαξ χειρῶν ἐς τοὐναντίον ἔλεγεν· ἆρ' ἐστὶ λέγοντα σιγᾶν; οὐδαμῶς· πῶς ταῦτα σιγᾶς; οὐ ταῦτα σιγᾶς; ναί· οὐκοῦν καὶ τὰ λέγοντα σιγᾶς. ἔστιν ἄρα λέγοντα σιγᾶν. ἐνταῦθα γὰρ τὸ μὴ λέγειν ἅπαξ τοῦ μὴ λέγοντος δέδωκεν. ὁ δ' ἔλαβεν ἅπαξ τὰ λεγόμενα εἰσὶ δὲ τρεῖς τρόποι τῶν πρὸ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν. εἴρηκε μὲν ἐκ τῶν δέκα καὶ τριῶν τροπῶν καθ' οὓς γίνονται οἱ παραλογισμοὶ, μόνους γὰρ τοὺς δύο, πρὸ τὲ πρὸ τὴν ὁμω

ὑγιάζεσθαι gd.

De Amphibolia

τῶν κρατῆσαι compotę. do mimi

ἀγωγή

Plato

ἀγωγὴ bis

νυμίαν καὶ τὸν περὶ τὴν ἀμφιβολίαν. πρὸ δὲ τοῦ, καὶ τοὺς ἑξῆς ἐκθεῖναι κατὰ
ποιοὺς καὶ πόσους τρόπους ἥ τε ὁμωνυμία καὶ ἡ ἀμφιβολία γίνεται, διδάσκει
καὶ φησὶ τρεῖς εἶναι καθ' οὓς γίνονται οἱ κατὰ ταύτας παραλογισμοί. καὶ εἷς
μὲν ἐστὶν ὅταν ὁ λόγος ἢ τὸ ὄνομα πλείω σημαίνει. ὡς ἀπὸ τῶν ὁμωνύμων, ὡς ἀε-
τὸς καὶ κύων. καὶ κοραξ καὶ κλεῖς. ἀπὸ δὲ τοῖς περὶ τὴν ἀμφιβολίαν ὡς εἴρηκε
πλείω σημαίνει ὁ λόγος. ἀπὸ γὰρ ὁ λόγος σύνθεσις ἐστὶν ὀνομάτων (ῥητέον καὶ
νῦν ὡς πολλάκις εἴπομεν ὀνόματα καὶ τὰ ῥήματα) τὸ δίπτον, ἢ ἔντισι τούτων
τῶν ὀνομάτων ἐστὶν, ἢ ἐν αὐτῷ τῷ λόγῳ. ἐν γὰρ τῷ, ὁ ὁρᾷ, καὶ ὁ γινώσκει τοῦτο
γινώσκει, ἐν τῷ λόγῳ εὑρίσκεται τὸ δίπτον. δεύτερος δὲ τρόπος, καθ' ὃν πάλιν
οἱ περὶ ἀμφότερον παραλογισμοὶ γίνονται, ὅταν εἰώθαμεν οὕτως ὀνομάζειν
αὐτὰ ἐκεῖνα τὰ ὀνομαζόμενα. εἰωθότων γὰρ ἡμῶν λέγειν σιγῶντα, καὶ τὸν σιγῶν-
τα ἀνόν, καὶ τὰ σιγώμενα. εὑρίσκει χώραν ὁ παραλογισμὸς, καὶ ἀπατᾶ τὸν ἀ-
κούοντα. εἰ δὲ σιγῶντα μόνως ἐλέγομεν τὸν σιγῶντα ἀνόν. ὁμοίως δὲ καὶ τὰ σιγώ-
μενα μόνως σιγώμενα ἐλέγομεν, οὐ μὴν ἐπετίθεμεν τούτοις ποτὲ καὶ τὸ σιγῶν-
τα, οὐκ ἂν ἐγίνετο ὁ παραλογισμός. οὐ μόνον δὲ καὶ οὗτος ὁ τρόπος τοὺς περὶ τὴν
ἀμφιβολίαν ἀποτίκτει παραλογισμοὺς, ἀπὸ καὶ τοὺς περὶ τὴν ὁμωνυμίαν. εἰώ-
θαμεν γὰρ λέγειν κύνα καὶ τὸν ἀστρῶον καὶ χερσαῖον. εἰ γοῦν μὴ τῷ αὐτῷ ὀνόμα-
τι τὸν ἀστρῶον καὶ τὸ χερσαῖον ζῷον καλεῖν εἰώθαμεν, οὐκ ἄν ποτε ἡμᾶς ἠπατή-
κει τὸ ὄνομα, ἐφ' ἑνὶ μόνῳ κείμενον. τρίτον τρόπον φησὶ τῶν περὶ τὴν ὁμωνυμίαν
καὶ ἀμφιβολίαν σοφισμάτων. ὅταν αὐτὰ μὲν καθ' αὑτὰ τὰ ὀνόματα, ἁπλᾶ τυγ-
χάνη. σύνθεθέντα δὲ, δίπτον τινὰ ἐκφαίνωσι νοῦν. τά τε γὰρ γράμματα κεχω-
ρισμένως τεθέντα οὐδὲν ἡμῖν δίπτον ἀποτίκτουσιν. ὁμοίως δὲ καὶ τὸ ἐπίσταται.
συμπλακέντα δὲ καὶ συνηνωμένως ἐκφωνηθέντα, δίπτα ἀποκυΐσκουσι τὰ νοή-
ματα. περὶ δὲ τὴν σύνθεσιν, τὰ τοιάδε. οἷον τὸ δύνασθαι. Διακόψας τὸν
λόγον ὁ ἀριστοτέλης, καὶ καθ' ὅσους τρόπους ἔν τε ὁμωνυμίᾳ καὶ ἀμφιβολίᾳ
τὰ σοφίσματα γίνεται μεθαξὺ περιθεὶς, καὶ διαλαβὼν περὶ τούτων, καὶ τρεῖς αὐ-
τοὺς εἰπὼν εἶναι, νῦν ἀνάγει τὸν λόγον εἰς τὴν ἀκολουθίαν, καὶ τὸν γ τρό-
πον τῶν περὶ τὴν λέξιν σοφισμάτων (ἔστι δὲ οὗτος ὁ περὶ τὴν σύνθεσιν) ἐκτίθεται.
ὀνομάζεται δὲ περὶ τὴν σύνθεσιν, ὡς τῆς μὲν ἐννοίας τοῦ λεγομένου σύνθετος δυ-
ναμένης νοεῖσθαι καλῶς περὶ τὴν σύνθεσιν δὲ τιθεμένου τινὸς καὶ τὸν παραλο-
γισμὸν ἀποτίκτοντος. οἷον, τί φημι ἐστὶ συλλογισμὸς τοιοῦτος. ὁ καθήμενος δύ-
ναται βαδίζειν, ὁ σωκράτης κάθηται. ὁ σωκράτης ἄρα βαδίζει. ἀλλὰ μὴν καὶ
κάθηται. βαδίζει ἄρα καὶ οὐ βαδίζει. γέγονεν οὗτος ὁ παραλογισμὸς περὶ τὴν
σύνθεσιν. εἴδει γὰρ σύνθεθεῖναι καὶ τὸ δυνατὸν, τούτου γὰρ πρὸς τεθέντος καὶ τοι-
ούτου τοῦ συμπεράσματος ἐξενηνεγμένου, ὁ σωκράτης ἄρα δύναται βαδίζειν,
οὐδὲν ἂν συνήγετο ἄτοπον. νῦν δὲ περὶ τὸ μὴ σύνθεθεῖναι καὶ τὸ δυνατὸν, τὸν πα-
ραλογισμὸν ἔχει ὁ ἔλεγχος. τοιοῦτος μὲν καὶ ὁ τρόπος οὗτος. ἴδωμεν δὲ καὶ
τὰ τοῦ φιλοσόφου ῥήματα. περὶ δὲ τὴν σύνθεσιν τὰ τοιάδε. οἷον τὸ δύνασθαι κα-

Tribus modis fieri paralogismos circa homonymiam & amphibolia

De fallacia cōpositionis

θήμενον βαδίζειν, καὶ μὴ γράφοντα γράφειν. τοῦτο οὐ συμπέρασμα ἐστὶν ἄτο-
πον τι συνάγον. ἀλλ' ἡ πρότασις ἐστὶν ἡ ἀληθὴς ἡ προσληφθεῖσα. καὶ ἡ ἀληθὴς,
ἡ ὁ σωκράτης κάθηται. ἐὰν μὴ περὶ τὴν σύνθεσιν γένηται, ἐξενεχείη ἂν τὸ ἀληθὲς
συμπέρασμα τὸ, ὁ σωκράτης δύναται βαδίζειν. ὁμοίου τούτῳ καὶ τὸ μὴ γρά-
φοντα γράφειν. ἐλλιπτικὸν γὰρ ἐστὶ καὶ συνεφέλκον, τὸ δύνασθαι. δεικτικὰ δὲ
εἰσὶ τοῦ ὅτι οἱ σοφιζόμενοι τοιαύτας μὲν τὰς προτάσεις λαμβάνοντες εἶτα περὶ
τὴν σύνθεσιν ποιοῦντες ἀποτελοῦσι τὸν σοφισμόν. ἀλλὰ γὰρ πρότερον ἑκάστου
τῶν σοφισμάτων τὴν ἀγωγὴν εἴπομεν καὶ τότε καὶ τὸ τῆς λέξεως διασαφή-
σωμεν ἀσαφές. εἰσὶ δὲ τοιαῦτα. οὐχὶ ὁ καθήμενος δύναται βαδίζειν. ναί. οὐχὶ
ὁ σωκράτης κάθηται; ναί. ὁ σωκράτης ἄρα βαδίζει. ἀλλὰ μὴν καὶ κάθηται. ὁ
σωκράτης ἄρα βαδίζει καὶ οὐ βαδίζει. πάλιν ἆραγε ὁ μὴ γράφων δύναται
γράφειν; ναί. ὁ δὲ πλάτων οὐ γράφει. ὁ πλάτων ἄρα γράφει. πάλιν ἆραγε
ὁ ἀπιστάμενος γράμματα, δύναται μανθάνειν νῦν γράμματα. τί δὲ ὁ σωκρά-
της νῦν ὑπνώττων οὐχὶ ἐπίσταται γράμματα; ναί. ὁ σωκράτης ἄρα μανθάνει
νῦν γράμματα. ἀλλὰ καὶ οὐ μανθάνει. κοιμᾶται γάρ. πάλιν ἐρωτᾶ, ὁ ἓν μόνον
δυνάμενος φέρειν, δύναται καὶ πολλὰ φέρειν; ναί. ἀλλὰ μὴν ὁ ἀλκιβιάδης
ἓν μόνον φέρει. ὁ ἀλκιβιάδης ἄρα πολλὰ φέρει. αἱ μὲν ἀγωγαὶ τῶν σοφισμά-
των ἅπερ εἰς παράδειγμα τίθησι τοῦ περὶ τὴν σύνθεσιν παραλογισμοῦ τοιαῦταί
τινες. τὸ δὲ, οὐ γὰρ ταυτὸν σημαίνει ἂν διελώντες εἴπῃ καὶ σύνθεις. τοιοῦτον ἐστὶν,
ὅταν τὸ δύνασθαι βαδίζειν διέλητις, καὶ ποτὲ μὲν κατηγορήσει μόνον τὸ βαδί-
ζειν, ποτὲ δὲ τὸ δύνασθαι βαδίζειν, κατὰ τοῦ σωκράτους, οὐ ταυτὸν σημαίνει
οὐ γὰρ ἐστὶ ταυτὸν τὸ, ὁ σωκράτης βαδίζει τῷ ὁ σωκράτης δύναται βαδίζειν.
ὥστε περὶ τὴν σύνθεσιν γίνεται τὸ σόφισμα ἔδει γὰρ σύνθεντα καὶ συνάψαντα
τὸ δύνασθαι καὶ τὸ βαδίζειν κατὰ τοῦ σωκράτους εἰπεῖν, ἀλλ' οὐχὶ τὸ βαδί-
ζειν μόνον. κολοβῶς, οὖν καὶ οἷον ἠκρωτηριασμένως τῆς σύνθεσεως γεγονυίας
καλῶς εἴρηται περὶ τὴν σύνθεσιν εἶναι τὸ σόφισμα. σημειωτέον δὲ, ὅτι σύνθεσιν λέ-
γει ὁ ἀριστοτέλης καὶ τὸ χωρὶς τοῦ δυνατοῦ τὸ βαδίζειν κατηγορεῖσθαι. εἰπὼν
οὖν ὅτι οὐ ταυτὸν σημαίνει ἂν τὸ βαδίζειν χωρὶς τοῦ δύνασθαι κατὰ τοῦ κα-
θημένου κατηγορήσῃ, ὅπερ διὰ τοῦ, ἂν διελώντες εἴπῃ, ἐσήμανε. καὶ ὅταν ἀνθεὶς
τὸ βαδίζειν μετὰ τοῦ δύνασθαι, διὰ τοῦ, καὶ σύνθεις, ὡς δυνατὸν τὸν καθήμε-
νον. τοῦ μὲν ἑνὸς τρόπου καθ' ὃν τὸ βαδίζειν μετὰ τοῦ δύνασθαι κατηγορούμεν,
παράδειγμα τέθεικε, τὸ ὡς δυνατὸν τὸν καθήμενον βαδίζειν, καὶ τὸν μὴ γρά-
φοντα, γράφειν. χωρὶς τοῦ δυνατοῦ μηνυτικὸν ἐπίγαγε τὸ, καὶ τοῦθ' ὁσαύτως
ὅταν σύνθη τὸν μὴ γράφοντα γράφειν. ταῦτα θεὶς τῶν δύο τρόπων, τοῦ τε ἔχον-
τος τὸ βαδίζειν μετὰ τοῦ δυνατοῦ κατηγορούμενον, καὶ τοῦ, μὴ τὸ δυνατὸν ἔχον-
τος, σαφηνίζων τινὸς ἐστὶν ἑκάτερος δηλωτικὸς, ἐπίγαγε λέγων. σημαίνει γὰρ
ὡς ἔχει δύναμιν τοῦ μὴ γράφων γράφειν καὶ τὰ ἑξῆς. ἔστι δὲ ὁ λόγος δυνάμει
τοιοῦτον. ὁ μὲν γὰρ τὸ βαδίζειν μετὰ τοῦ δυνατοῦ κατηγορῶν κατὰ τοῦ καθημένου,

ἀγωγήν

ἀγωγαί

καὶ λέγων, ὡς ὁ καθήμενος δύναται βαδίζειν, σημαίνει ὅτι ὁ καθήμενος οὐ βαδίζει, οὐδὲ ὁ μὴ γράφων γράφει· δύναται δὲ μᾶλλον ταῦτα βαδίσαι καὶ γράψαι. ὅ περ ἐστὶν ἀληθές, ἐὰν μὴ τῷ βαδίζειν ἢ τῷ γράφειν σὺν τῷ ὅτι δύναμιν, καὶ ἀμφότερον κατὰ τοῦ καθημένου καὶ μὴ γράφοντος κατηγορῇ, ἀλλὰ, τὸ βαδίζειν μόνον καὶ τὸ γράφειν. οὕτως οὐ λέγει ὅτι δύναμιν ἔχει ὁ μὴ γράφων νῦν ἢ ὁ καθήμενος, ὕστερον γράψαι ἢ βαδίσαι· ἀλλ' ὅτι νῦν ὅτε οὐ γράφει, δύναμιν ἔχει τοῦ γράφειν· τουτέστι νῦν ὅτε οὐ γράφει, γράφει· τὸ γὰρ ἔχειν δύναμιν ὅτε οὐ γράφει δύναμιν ἔχει γράφειν, ὡς ἴσον εἰληφὸς τῷ, δύναμιν ἔχειν ἅμα καὶ κατὰ ταυτὸν καὶ γράφειν καὶ οὐ γράφειν, ὅπερ ἀδύνατον, ἐν ἄλλῳ μὲν χρόνῳ γράφει καὶ ἐν ἄλλῳ μὴ γράφει, δυνατὸν ὁμοίως καὶ βαδίζειν καὶ μὴ βαδίζειν. τὸ δὲ μανθάνειν νῦν γράμματα εἰπὼν ἐμάνθανεν ἀντὶ τοῦ ἔμαθεν ἀπολύτως εἴρηκε καὶ καθ' αὑτό. ἔστι δὲ παράδειγμα πρὸς σιωπάζοντος σοφίσματος, τὸν κοιμώμενον μανθάνειν νῦν γράμματα. πρὸς δὲ τὴν διαίρεσιν ὅτι τὰ πέντε ἐστὶ δύο καὶ τρία, καὶ πρόσαντα καὶ ἄρτια. καὶ τὸν τέταρτον τρόπον τῶν πρὸς τὴν λέξιν φαινομένων ἐλέγχων ἐστὶ δὲ οὗτος ὁ πρὸς τὴν διαίρεσιν ἐκτιθείς, οὐ διὰ σοφισμάτων ἡμῖν αὐτῶν οἷός ἐστι, παρίστησιν· ἀλλὰ καὶ διὰ τοιαῦτα ῥαδιουργημάτων τινῶν, ἃ οὐκ ἔστι σοφίσματα παραλογιστικά, ἀλλὰ κατ' ἄγνοιαν οὕτως ἐν τοιούτῳ λόγῳ κείμενα. τίνα εἰσὶ ταῦτα παρακατιόντες ὁρισόμεθα. πρὸς δὲ τὴν διαίρεσιν οὗτος ὀνομάζεται, διότι ἅ τινα τῷ λεγομένῳ προσθήσει δυνάμει, ἴσως τὰ διαιρῶν ὁ σοφιστὴς καὶ ἰδία τιθείς, σιωπᾷ ἐνδεχόμενα ταῦτα προσεῖναι τῷ πρὸς οὗ συλλογίζεται. τοῦτο δ' αὖ οὐ σιωπήσει μὴ ἡ διαίρεσις γένηται. οἷον τὸ φημί· τὸ πέντε ἀριθμὸν δυνάμει ἔχοντα ἐν ἑαυτῷ τὸ πρὸ πόν καὶ τὸ ἄρτιον, ὅσοφιστὴς διαιρῶν μὴ ἄρτιον ὄντα, καὶ ἄρτιον ἀποδείκνυσι καὶ μὴ ἄρτιον οὕτως ἐν σχήματι τὴν ἀγωγὴν προιούμενος τοῦ σοφίσματος. οὐχὶ ὁ πέντε εἰς δύο καὶ τρία διαιρεῖται, πρόσ τρία καὶ δύο, οὗ πρόπος καὶ ἄρτιος· ὁ πέντε ἄρα πρόπος καὶ ἄρτιος ἐστί· πρὸς τὴν διαίρεσιν τὸ σόφισμα. τὰ γὰρ μόρια ἐν τῷ ὅλῳ δυνάμει εἰσίν· ἐν γὰρ τῷ πέντε, ὁ τρία καὶ ὁ δύο, δυνάμει εἰσί· τὸ δὲ δυνάμει πρόν, οὐκ ἐστὶν ἐκεῖνο ὃ δύναται γενέσθαι. οἷον τὸ ἔνδρον τὸ ἐστηκὸς δυνάμει πλοῖον ὄν, οὐκ ἐστὶ πλοῖον. ἀλλὰ καὶ ὁ ἀχνμάτιστος χαλκὸς δυνάμει ὢν ἀνδριάς, οὐκ ἐστὶν ἀνδριάς. τὸν μὲν οὖν τὰ πέντε σιωπάζοντα παραλογισμὸν καὶ ἄρτια ἀναιροῦσα πρόσασα, πάνυ σαφῶς ὁ ἀριστοτέλης ἐξέθετο. τὸν δὲ, τὰ μείζονα ἴσα τοῖς ἐλάττοσι σιωπάζοντα πάνυ βραχέως καὶ διὰ τοῦτο ἀσαφῶς ἀπαγγέλλειν δοκεῖ. δεῖ δὲ προσυπακούειν ἐν τῷ, τὸ μεῖζον ἴσον, τὸ, τῷ ἐλάττονι. ἵνα ᾖ τὸ πλήρες τῆς λέξεως τοιοῦτον καὶ ἡ ἀγωγὴ τοῦ σοφίσματος, οὕτως ἠρώτα τὸ πρόσχι ὁ ὀκτὼ εἰς ἓξ καὶ δύο διαιρεῖται; ναί· πόσχι εἰς τρία καὶ πέντε; ναί· ὁ ὀκτὼ ἄρα εἰς τὰ καὶ β. καὶ γ καὶ πέντε διαιρεῖται· τὰ δὲ τ καὶ δύο καὶ ε καὶ γ. ἴσ ἐστίν· ὁ ὀκτὼ ἄρα εἰς ἴσ διαιρεῖται· ἴσος ἄρα ὁ ἴσ τῷ η, ὁ μείζων τῷ ἐλάττονι· πρὸς δὲ τὴν διαίρεσιν καὶ τοῦτο τὸ σόφισμα. δυνάμει γὰρ ἐν τῷ η, ταῦτα.

Quartus modus divisionis

Cur vocet divisionis

Potentia aliqd existens, non illud quod potest esse

Valde breviter & obscure

ὁ δὲ, τοσοῦτον γὰρ τὸ μεῖζον καὶ ἔτι πρός, οὕτως ἔσχηκεν, ὥστε εἶλεγεν ὁ ἴσ τουτέστι τὸ μεῖζον, τοσοῦτος ἐστὶν ὅσος ὁ ὀκτὼ καὶ ἔτι πρός. ἀρχόμενος γὰρ πρὸς τὴν διαίρεσιν παραλογισμὸν δι' ὧν ἐπήνεγκε σοφισμάτων ἐπαγωγὴν παράδειγμα δ' εἰκὸς τὸν αὐτὸν λόγον διηρημένον καὶ συγκείμενον, μὴ ταυτὸν σημαίνειν· τὸ γὰρ ἐγώ σε ἔθηκα δοῦλον, αὖ τὸ λεγόμενον καθ' αὑτὸ, καὶ αὖ πάλιν, τὸ ἐγώ σε ἔθηκα ἐλεύθερον, οὐ ταυτὸν σημαίνουσι καὶ ὅταν ἀμφότερα οὕτω τεθέντα λόγον ἀπαρτίσωσιν τὸν λεγόμενον ἐγώ σε ἔθηκα δοῦλον ὄντα ἐλεύθερον· ὅμοιον τούτῳ καὶ τὸ ἐφεξῆς τούτου κείμενον. οὐ γὰρ ὡς σόφισμα τέθειται, ἀλλὰ καὶ αὐτὸ ὡς πρὸ παράδειγμα εἰληφὸς τοῦ, μὴ ταυτὸν σημαίνειν τὸν λόγον τοῖς μέρεσιν. ἔστι δὲ τοῦτο τὸ, πεντήκοντα αἱρῶν ἑκατὸν λίτρας ὄϊος ἀχίλλεως. ἄλλο γὰρ δηλοῖ διαιρουμένων τῶν αἱρῶν ἀπὸ τῶν πεντήκοντα, καὶ ἄλλο σὺν τεθειμένων. εἰ μὲν γὰρ ὑποτίθεμενος τὸ πεντήκοντα λέγοντες, ὅτι πεντήκοντα, ἑκατὸν αἱρῶν, σημαίνει ὅτι ὄϊος ἀχίλλεως ἀπὸ τῶν ἑκατὸν αἱρῶν καπέλιπεν πεντήκοντα. εἰ δὲ εἰς τὸ ἑκατὸν, ἕτερον πάλιν δηλοῦται, ὅτι ἀπὸ τῶν πεντήκοντα αἱρῶν, καπέλιπεν ἑκατόν. πρὸς δὲ τὴν προσῳδίαν, ἐν μὲν τοῖς αὐτὴν γραφῆς διαλεκτικοῖς, οὐ ῥᾴδιον προιδεῖν λόγον. τρεῖς τρόπος τ πρὸς τὴν λέξιν σοφίσματων, ὁ πρὸς τὴν προσῳδίαν ἐστίν· ὃς μὲν ἐν τοῖς διαλεκτικοῖς λόγοις τοῖς μὴ γεγραμμένοις, ἀλλὰ λεγομένοις, οὐ ῥᾳδίως γίνεται· ἐν δὲ τοῖς γεγραμμένοις διαλεκτικοῖς λόγοις καὶ τοῖς ὁμηρικοῖς προιμασι δύναται γενέσθαι. ὀνομάζεται δὲ πρὸς τὴν προσῳδίαν, ὅτι ὁ τόνος πρὸς ὃν αἱ δομεν χρόνος λόγους προιούμενα, προιεῖ τὸν παραλογισμόν. νῦν μὲν οὕτως, ἄλλοτε δ' ἄλλως ἢ καὶ ἀλλαχοῦ πεθέμενος. οἷον, τὸ φημί· ἐν μὲν ὁμιλίᾳ καὶ διαλέξει, οὐκ ἀπαρτίσει πρὸ τὸ λέγων, ἑταίρα χρυσᾶ εἰ φορεῖν δημόσια ἔσω. εἰλημμένου γὰρ ὀλέγων πάροξυτόνως τὸν λόγον ἐξενηνεγκῶν ἢ τυχὸν καὶ προπαροξυτόνως. καὶ οὐκ αἰσχύνεται τοτὲ τὸν ἀκροαμένων, νῦν μὲν παροξυτόνως λέγων, νῦν δὲ εἰς προπαροξύτονα μεταλαμβάνων· ἅπαξ γὰρ εἰρηκώς, ἐσήμανε τὸ ἑαυτοῦ βούλημα. εἰδὲ ἐν γραφῇ εἴη κείμενον τὸ δημόσια, οὐδὲν ἕνα τόνον ἔχον, τότε δῆπα καὶ τὸν παραλογισμὸν ἀπεκρύπτετο δ' οὐ ῥᾳδίως γίνεσθαι λόγον ἐν τοῖς αὐθυγραφῆς. διότι ἐστὶν ὅτε χρὴ ἐν σωτοῖς. οὕτως ἀποτελεῖται ὡς πρόσθεν ὅταν τὰς εἴπωμεν. ἆρ' ἐστὶ τὸ οὖ καταλύεις, οἰκία; ναί· τὸ δὲ οὐ καταλύδς, ἢ καταλύεις, ἀπόφασις; ναί· ἡ οἰκία ἄρα ἀπόφασις πρὸς τὴν προσῳδίαν τὸ σόφισμα. ἐν μὲν τῇ α προτάσει ἢ οὗ καταλύδς πρὸς ἀποφάσεως δοθέντος. ἐν δὲ τῇ β οὐχ οὕτως ληφθέντος. πάλιν. ἆρ' ἐστὶν ὁ ὄρος. πῖδ τὸ ξῶον λογικὸν θνητὸν ἡμῖν θνητικὸν οὐχ ὅρος; ἐστὶν ἄρα τὸ ξῶον λογικὸν θνητὸν ἡμῖν θνητικόν. πρὸς τὴν προσῳδίαν ἢ τοῦτο. παράδειγμα δὲ διαφορεῖ ἢ πρὸς τὴν προσῳδίαν, ὅπερ ἐν προιμασιν ἔφη μάλιστα γίνεσθαι πρὸς τῷ ὁμήρῳ. κεῖται δὲ ἐν τῷ ψ τῆς ἰλιάδος, ἔνθα καὶ διὰ πατροκλῷ ὁ ἰωνικὸς ἀγωνίζεται τὸν λεξο. παρίσταται δὲ τῷ προιτῇ ὁ νέστωρ τῷ παιδὶ ἀντιλοχῳ τὰ πρὸς τὴς ἱππικῆς ὑποθέμενος, καὶ πρὸς ἃ τόπου διαλεγόμενος ἔνθα ἔμελλεν ἀγωνίζεσθαι μετὰ τῶν

Quinta fallacia accentus seu prosodiæ

Homerus

∴ ἀλλαχόθι

∴ πρὸ

∴ ἀποτηκῇ sive ἀποσέχῃ

λοι τῶν ἡγιόχων. μετὰ δὲ τὰ ἄλλων φησὶ καὶ τὰ περὶ τῆς νόσης οὕτως ἔχοντα.

" σῆμα δ' ἔτι δρέω μαλ' ἀφραδές, οὐδ' ἐσαλύσει
" ἔγχος ἐλεξύλον αὖον, ὅσον τ' ὄργυι' ὑπὲρ ἄλλης,
" ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὔ κατὰ πύθεται ὄμβρῳ.
" λαὲ δὲ τοῦ ἑκάτερθεν ὀρῆρέδαται δύο λευκοὶ
" ἐν ξυὸς χῆσιν. ὁδὸν οὐ λέγει δ' ἰσαόδρομος ἀμφίς.

Τινὲς οὖν ἐκάκιζον τὸν ὅμηρον περὶ ἀπαιωμένως τὸ οὐ ἀναγινώσκοντες, καὶ λέγοντες ἄρτιον παιᾶνα εἰρηκέναι διὰ τοῦτο, ὡς λέγοντα δηθεν ὅτι ἡ ξύλου ἐκείνου ἐξανέχοντος, ὃ δρύινον ἢ πεύκινον ὀνομάζει, τὰ μὲν κατασήπεται, τὰ δὲ οὔ κατασήπεται. εἰ γὰρ μὴ καὶ τοῦτο ἐδήλωσεν ἐναργῶς, τὰ δὲ οὐ κατασήπεται λέγοιεν αὐτικρυς δηλοῦσθαι διὰ τοῦ εἰρημένου τοῦ, οὗ, τὸ μὲν κατατύθεται ὄμβρῳ. ὡς τινος μὲν ἐκ τοῦ δένδρου τῆς πεύκης σεσηπότος τοῖς ὄμβροις ὕδασι, τινὸς δὲ μὴ σεσηπότου· τινὲς μὲν οὖν ἐκάκιζον τὸν ὅμηρον ὡς εἴπερ αὐτὰς τὰς εἰρηνέναι. ἄλλοι δὲ ὀρθοῦσθαι δὲ τοὺς τοιούτους ἐπὶ τῆς ποιητικῆς, ὡς αὐτὸς ἀριστοτέλης ἐν τῇ ῥητορικῇ φησι, ἰδιώτας ὁ θαῦμος μὴ περιπαιωμένως ἀναγινώσκων τὸ οὗ, ἀλλ' ἀποφατικῶς, ὅ περ αὐτὸς οὕτω τὸν τρόπον εἰρηκεν, ἵνα ἢ τὸ λεγόμενον, ὡς ἡ πεύκη τὸ δένδρον οὐ κατατύθεται ὄμβρῳ. λέγει δὲ θεόφραστος τὸ φυτὸν τῆς πεύκης ὄμβριοις ὕδασι καὶ πναιγαίοις μὴ σήπεσθαι. θαλαττίοις δὲ μάλιστα. ἀλλὰ τοιοῦτον μὲν τὸ ἐν παραδείγματος δὲ ἕτερον τὸ ἐπόμενον τὸ περὶ τὸ ἐνύπνιον τοῦ ἀγαμέμνονος, ὃ φησι τὸν διὰ εἰπεῖν τὸ, ὀνείρου δὲ οἱ δοῦχος ἀρέσθαι, οὐδ' ἀμοῦ κεῖται ἐν τῇ ἰλιάδι· τὰ μὲν γὰρ περὶ τοῦ ὀνείρου ἐν τῇ ἀρχῇ τοῦ β ἐστίν· οὐδ' ὅλως δ' ἀρέσθαι τῆς τοῦτο πρὸς ἕτερος ἐκεῖ κείμενον, καὶ ἔοικε τὸν μὲν νοῦν ἐκεῖθεν λαβεῖν, αὐτὸν δὲ παράσθαι τὸ τίχου τεμμάχιον· τὰ ἑπτὰ δὲ μεταβαλών· θωρήξαι ἐκέλευε καρηκομόωντας ἀχαιούς, πανσυδίην νῦν γάρ κεν ἕλοις πόλιν ὀφρυάγυιαν τοιαῦτα μὲν τὰ ῥητά· αὐτὸς δὲ καὶ οἰκοθεν βουλόμενος ποιῆσαι τοῦ περὶ προπαιδίαν παράδειγμα ὡς ἐκ τοῦ ὁμήρου τοῦτο ἐπήγαγε. φασὶν οὖν τινες, ὅτι εἰς τόδε, οἱ, ἐστὶν ὁ παραλογισμὸς καὶ ἡ ἁμαρτία τοῦ ὁμήρου ἐκεῖνο μὲν γὰρ οὕτως ἔγραφεν, ὀνείρου δὲ οἱ δοῦχος ἀρέσθαι. τοῦτέστι φησὶν ὁ ζεὺς τῷ ὀνείρῳ ὡς ἀπελθὼν ἀπάγγειλον τῷ ἀγαμέμνονι. ὡς οἱ θεοὶ πάντες ἐψηφίσαντο τὸ, στὶ τὴν νίκην δίδωμι. εἰσὶν οὖν τὰ ῥήματα τοῦ διὸς πρὸς τὸν ὄνειρον, ὅπερ βὰς ταῦτα εἰπὲ τῷ ἀγαμέμνονι, ὅτι διδόμεν αὐτῷ πάντες οἱ θεοὶ τὴν νίκην φασὶ οὖν ταῦτα λέγοντες, ὡς ἐνταῦθα ἁμαρτάνει ὁ ποιητὴς εἰσάγων τὸν διαλεγόμενον ταῦτα τῷ ὀνείρῳ, καὶ τρόπον τινὰ ψευδόμενον, ὅπερ οὐκ ἐστὶ θυμοῦ· οἱ γοῦν σωφρονοῦντες τοῦτον, φασὶν ὡς οὐ τῷ ἀγαμέμνονι ὁ ζεὺς ἔλεγε τὸ δοῦχος δοθῆναι ἀνὰ τῷ ὀνείρῳ κατὰ τὸ ἀγαμέμνονος. ἀπαγγιλωσκοντι δὲ οὕτως· δίδομεν δὲ οἱ αὐτὴ σοὶ τῷ ὀνείρῳ· ἔστι δὲ καὶ τοῦτο ψεῦδος. ὁ γὰρ αὐτὸς νοῦς ἐστὶ, καὶ ὁ τόνος ἀπαιβιβασθείη, καὶ ὁ περὶ παυσθείη ἢ αὐτωνυμία ἢ οἱ. πρῶ γοῦν ἐστὶν ἡ ἁμαρτία, ἢ οὐκ εἰς τὸ δὲ οἱ, ἀλλ' εἰς τὸ δίδομεν. ἐπεὶ καὶ ἡ ἴδιον ἐστὶ τῆς δωρικῆς διαλέκτου τὸ αὐτὴ τὸ δίδομαι λέγειν δίδομαι,

Homeri loc?

Aristotelis Hippias thasi? Theophra

Homeri?

Homeri locus

δίδομεναι
ἔμμεναι
δίδομεν

ὡ θεοῦ

καὶ αὐτὴ τοῦ εἶναι ἔμμεναι· τῆς αὐτῆς δὲ καὶ τὸ ἀπόκτειναι τὸ ἀπόκταιναι τὸ τῆς παρεμφάτου ἐγκλίσεως· τοῦτο καὶ ἐνταῦθα διόρισεται. εἰ οὖν τὸ δίδομεν δὲ οἱ δοῦχος ἀρέσθαι ἀναγνῶτις τὸν τόνον θεὶς εἰς τὸ δίδομι, τὸν δία ποιεῖ ψευδόμενον, ὡς ὑποσχνουμένου δίδοναι τὴν νίκην, καὶ μὴ εἰς ὄρκον ἐξάγοντα τὴν ὑποχεσιν εἰ δὲ εἰς τὸ δοῦναι τόνον θεὶς ἀναγνῶ τὸ ἐξῆς, καὶ τὸν δία ψεύδεσθαι ἀποδύσεις, καὶ τῷ ὁμήρῳ πολλαπλασιάσεται τὸ αἰτίαμα. ὡς τοῦ διὸς λέγοντος τῷ ὀνείρῳ καὶ αὐτὸ τὰ πλοῦτος, διὸ μᾶλλον αὐτὸν τὸν ὄνειρον τὸ δοῦχος τῷ ἀγαμέμνονι, καὶ μὴ αὐτοῦ τοῦ διός. καὶ γοῦν ὁ ὄνειρος ὑποχεῖται τῷ ἀγαμέμνονι τῷ δοῦχος καὶ ψεύδεται καὶ οὐχ ὁ ζεὺς αὐτός. οἱ δὲ περὶ τὸ σχῆμα τῆς λέξεως συμβαίνουσιν, ὅταν τὸ μὴ ταυτὸν. ὁ ἕκτος τρόπος τῶν περὶ τὴν λέξιν σοφισμάτων. οἱ περὶ τὸ σχῆμα τῆς λέξεως συμβαίνοντες εἰσὶ παραλογισμοί· οὕτω δὲ λέγεται ὅτι ἡ τριάλεξις τοῦ σχήματισμοῦ τῆς λέξεως αἰτία γίνεται τοῦ παραλογισμοῦ. καὶ ὅτι τὸ σχῆμα τοιοῦτον οὐ τοῦ μὴ ταυτοῦ κατὰ τὴν φύσιν, τοιοῦτον φαίνεσθαι ποιεῖ. οἷον, τὸ φιλοσοφικὸν διὰ τὸ ὁμοιόσχημον εἶναι τῷ ἐνεργητικῷ, ὡς ἐνεργητικοῦ λαμβάνει ὁ σοφιστὴς, καὶ παραλογίζεται. ὡς ἆρα τοῦ διδακτὸν τὸ μανθάνειν ἐνόρᾶν ἐστὶν περὶ τὴν μάθησιν; ναί. τὸ ἐνορᾶν περὶ τὴν μάθησιν, διδάσκειν ἐστί; ναί. τὸ ἄρα μανθάνειν, διδάσκειν ἐστί. περὶ τὸ σχῆμα οὖν τῆς λέξεως λέγεται, ὅτι ἐχημάτισται τὸ φαθητικὸν εἰς τὸ ἐνορᾶν τικόν· καὶ διότι τὸ ἐνορᾶν περὶ τὴν μάθησιν δηλοῖ καὶ ἀμφότερον. παρίησι γὰρ καὶ ἐνορᾶν τοῦ διδάσκοντος, ὁμοίως δὲ καὶ παθος τοῦ διδασκομένου, ἢ μᾶλλον εἰπεῖν τὴν γένεσιν καθὼς ἐν τῇ περὶ ψυχῆς πραγματεία φησί· τὴν γὰρ τοῦ μαθητοῦ τελείωσιν γιγνομένην παρὰ τοῦ διδασκάλου, οὐ παθος εἶναι φημι, ἀλλὰ γένεσιν μᾶλλον. εἰ δὲ τις οὐδὲ τοῦτο καὶ παθος καταγομαίζειν, οὐχ ἁπλῶς αὐτὸ παθος, ἀλλὰ τελειωτικόν. κατὰ γοῦν τὸ ἐχηματισθαι κατ' ἐνόρᾶσιν τὸν λόγον, γίνεται ἢ ἀπάτη. καὶ τὸ μὴ ταυτὸν ἢ γοῦν τὸ φαθητικὸν μὴ οὐ ὅμοιον τῷ ἐνεργητικῷ, ὡσαύτως αὐτῷ ἐρμηνεύεται. ἢ τὸ αὖ πάλιν. συμβαίνει γὰρ τὸν σοφιστὴν ἀπατᾶν τὸν προσδιαλεγόμενον. ὅταν τὸ ἐνεργητικὸν μηδὲν ἴσον τῷ φαθητικῷ, ὡς φαθητικοῦ λέγηται. τὰ δὲ τοιαῦτα σοφίσματα ὧν αὐτὸς μνημονεύει, τοιαῦτα εἰσίν. οὐχὶ τὸ ἄρρεν· οὐδὲ ἕτερον, οὐχὶ τὸ θῆλυ οὐδὲ ἕτερον, τὸ ἄρρεν ἄρα θῆλυ. καὶ τὸ θῆλυ ἄρρεν· ἢ πάλιν τὸ μεταξύ, ἢ γοῦν τὸ οὐδὲ ἕτερον. τοῦτο γάρ ἐστὶ τὸ μεταξὺ θήλεος καὶ ἄρρενος ὡς θατέρου τούτων ἑρμηνεύεται, ἢ ὡς ἄρρεν ἢ ὡς θῆλυ. ἔστι δὲ καὶ ἡ τοῦ τοιούτου σοφίσματος ἀγωγὴ, τοιαύτη· οὐχὶ ὁ λίθος ἄρρην, οὐχὶ δὲ διὰ τὸ σχῆμα τῆς λέξεως, ἢ γοῦν τὸ ἀρσενικῶς ἐκφωνεῖσθαι, ἄρρεν δοκεῖ τὸ δὲ ὂπ τὸ πρίου τρόπου, ἢ τὸ πρόσω πρίου, οὔτω ἐρωτᾶται· οὐχὶ τὸ πρίου οὐδέτερον; οὐχὶ τὸ πρόσω, οὐδέτερον τὸ πρίου ἄρα καὶ τὸ πρόσω, τοῦτον ἢ τὸ πρίου πάχος ἢ τὸ διακείμενον πρίουν· διακείμενον δὲ πάχος λέγων τὸ γὰρ πάχος διάκειται κατὰ τὴν παθησιν. συλλογίζονται δὲ τὸ πρίουν ὡς πάχος, καὶ τὸ πάχος ὡς πρίουν οὕτω. οὐχὶ τὸ τύπτεται ῥῆμά ἐστιν, οὐχὶ τὸ μέμφεται ῥῆμά ἐστί· τὸ μέμφεται ἄρα καὶ τὸ

Sextus mod figuræ dictionis

Aristotelis Perfectione discipuli facta a magistro non ex affectu seu passione sed generatione.

ἀπορεῖται

ἐνεργητικόν

ὁ χαλκίας ἄρρην; ὁ λίθος ἄρα χαλκίας
ἰδοὺ χωρὶς τὸ δεύτερον
καὶ ὁ λίθος

ὡ ἀπόρητος

στοιοῦ

τύπτεται τωυτόν. τὸ ἐγείρειν ἄρα καὶ τὸ πάσχειν ταυτόν. τὸ γὰρ μέμφεται
ἐνδεχομενικὸν ὄν, ὡς ταυτὸν ὂν τῷ τύπτεται σῶμα χρυσὸν καὶ τἄλλα φησὶν ὅσα
ρηται τοῦ τε τί καὶ τὰς ἄλλας κατηγορίας, ἃς ἐν ταῖς κατηγορίαις ἐδίδαξε.
δύναται ὁ σοφιζόμενος ἐν παραλογισμῷ παραλαμβάνειν, καὶ τὸ ποιόν, ὡς
ποιός τι δείκνυται, καὶ τὸ ποσόν, ὡς ποσός τι, καὶ τὸ πρός τι, ὡς πρός τι, καὶ τὸ ποιεῖν. πάσχειν. πόθεν δὲ τοῦτου παράδειγμα τοιοῦτον. οὐχὶ τὸ ὑγιαίνειν ἀπαρέμφατον; οὐχὶ τὸ τέμνειν ἀπαρέμφατον; τὸ ὑγιαίνειν ἄρα καὶ τὸ τέμνειν. τωυτόν. ἀλλὰ τὸ μὲν ὑγιαίνειν πάσχειν πέφυκεν· ἐπεὶ ἡ ὑγεία διάθεσις σώματος ξώου ἐν συμμετρίᾳ θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν. τούτου γάρ ἐστι διλωτικὸν τὸ, καὶ τὸ μὲν τριόν τι καὶ διακείμενόν πως διλοῖ· τὸ δὲ τέμνειν καὶ οἰκοδομεῖν, τριειν. τούτου γὰρ πάλιν ἐστὶ διλωτικὸν τὸ, τὸ δὲ τριειν τιμωρεῖσθαι δὲ καὶ τοιοῦτον λόγον ὁ δύβυδημος. πρότερον ὁρῶσιν οἱ σκύθαι καὶ οἱ ἄλλοι ἄνθρωποι τὰ δυνατὰ ὁρᾶν, ἢ τὰ ἀδύνατα; τὰ δυνατὰ δήπου. οὐκοῦν καὶ σύ καὶ ἐγώ; ναί· ὁρᾶς δὲ τὰ ἡμέτερα ἱμάτια; ναί. δυνατὰ οὖν ὁρᾶν ἐστὶ ταῦτα. ὁρᾷ ἄρα τὰ ἱμάτια. οὐχ ὅσα γοῦν ἐνεργητικῶς λέγεται, ἐνεργειῶν εἰσὶ διλωτικά. τὸ γὰρ ὁρᾶν ἐνταῦθα εἰ καὶ ἐνδεχομενικὸν ἐστίν, ἀλλ' οὖν τοῦ ὁρᾶσθαι δέδωκεν. ὁ δὲ δύβυδημος ἔλαβεν ὡς βλέπειν, καὶ οὕτω ἤγαγεν ὅτι δύναται βλέπειν τὰ ἱμάτια. τὸ δὲ, ἐστὶ γὰρ τὸ μὴ τῶν τριειν οὖν, ὡς τῶν τριειν τι τὴν λέξει σημαίνειν, ἴσον ἐστὶ τῷ, ἐστὶ δὲ τῶν σημαινόντων ἐνεργεία τὸ μὴ ὄν, λαμβάνειν ὡς ἐνεργεία ὂν σημαντικόν· ὡς οὖν τοῦ μανθάνειν καὶ τοῦ ὁρᾶν εἴρηται· καὶ οἱ μὲν περὶ τὴν λέξιν τρόποι τῶν σοφισμάτων, τοιοῦτοι εἰσὶν, αὐτὴ τοῦ ἑξῆς, καὶ τοιοῦτοι οἷον καθ' ἕκαστον αὐτῶν εἶναι ἐφήμεν. τῶν δὲ ἔξω τῆς λέξεως παραλογισμῶν εἰδῶν. εἰ πρῶτον καὶ πρότερον, ὅπου πάντων τῶν ὄντων εἰς φωνὰς καὶ πράγματα διαιρουμένων καὶ ἐν ἑκάστοις τούτων παραλογισμῶν γινομένων, ἁπάντων ὁ ἀριστοτέλης τοὺς ἐν ταῖς φωναῖς γινομένους παραλογισμοὺς, οὓς καὶ περὶ τὴν λέξιν ἐκάλεσε, χωρὶς διαλαβὼν περὶ αὐτῶν ἀρκούντως ὡς γίνονται καὶ ὡς σώζονται μόνον. ὕστερον γὰρ καὶ περὶ τῆς αὐτῶν ἐρεῖ λύσεως. νῦν καὶ τοὺς ἐκ τῶν πραγμάτων γινομένους παραλογισμοὺς πέφυκεν, οὓς καὶ ὀνομάζει ἔξω τῆς λέξεως. διότι οὐχὶ ἡ λέξις καὶ ταῦθα ἢ ἡ τούτης σύνθεσις, ἢ διαίρεσις, ἢ ὁ ἐν τῇ λέξει τόνος, ἢ τὸ πνεῦμα, ἢ τὸ ὁμοιόσχημον τῆς λέξεως ἄλογον γίνεται τοῦ παραλογισμοῦ. διαλαβὼν δὲ καὶ περὶ τούτων ὅπως τε γίνονται περὶ τῶν σοφιστῶν καὶ σώζονται, πρὸ τούτων καὶ περὶ τῆς τούτων λύσεως ἐν τῷ προσκοπεῖν διαλήψεται. καὶ γοῦν πρότερον ἀναριθμεῖται αὐτοὺς λίαν σαφῶς πόσοι καὶ τίνες εἰσίν. ἐπάλληλοι μὲν οὖν οἱ πάντες. ὁποῖοι δὲ, ἐν τοῖς ἑξῆς θεωρήσομεν, καὶ πρῶτος τῶν ἄλλων ἐστὶν ὁ περὶ τὸ συμβεβηκός. οἱ μὲν οὖν περὶ τὸ συμβεβηκὸς παραλογισμοὶ εἰσίν. ὃ ἂ τρόπος τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων ἐστὶν ὁ περὶ τὸ συμβεβηκός. γίνεται δὲ οὗτος ὅταν τῆς ἐξουσίας τῷ προσόν τῷ κατηγορουμένῳ λαμβάνειν τὸν σοφιστὴν καὶ λέγειν κατὰ τοῦ ὑποκειμένου μὴ ὀφείλοντας λέγεσθαι, ὁ παραλο-

Sanitatis differitio

Plato

Paralogismi seu fallaciæ extradictionem Septé

Fallacia accidentis

ἄξιοῖ .. πδά

... πδά

λύπρλγ τοῦ ὑποκρίνων ὅτι οὐκ ἀναγκαῖον ὅτι πδά ἰῶν τὸ τὰ συμβεβηκότα τοῦ κατηγορουμένω

γισμὸς γίνεται ὅταν οὖν φησὶ τὴς ἀξιοῖ ὁμοίως ὑπάρχειν τι τῷ πράγματι καὶ τῷ συμβεβηκοτι, πρᾶγμα μὲν λέγει τὸ σύνθετον καὶ ὑποκείμενον, συμβεβηκὸς δὲ, ἁπλῶς πᾶν τὸ κατηγορούμενον, κἀκεῖ τῶν οὐσιωδῶς καὶ καθ' αὑτὸ ὑπαρχόντων τῷ καθ' οὗ κατηγορεῖται, ἐστὶ, κἀκεῖ καὶ μὴ φησὶν γ' οὖν ὡς οὐκ ἀναγκαῖόν ἐστιν, ὅσα συμβεβηκε τῷ κατηγορουμένῳ, καὶ τῷ ὑποκειμένῳ ταῦτα συμβαίνειν. οἷον, τὸ φιμὶ κατηγορεῖται τοῦ λευκοῦ κατὰ τοῦ σωκράτους. ὑπάρχει δὲ τῷ λευκῷ καὶ τὸ χρῶμα διακριτικὸν ὄψεως. εἴπις οὖν ἀξιοῖ καὶ τῷ σωκράτει ὑπάρχειν τὸ χρῶμα διακριτικὸν ὄψεως λέγων οὕτω. ὁ σωκράτης λευκός, τὸ λευκὸν χρῶμα διακριτικὸν ὄψεως, ὁ σωκράτης ἄρα χρῶμα διακριτικὸν ὄψεως, προεῖται περὶ τὸ συμβεβηκὸς τὸν παραλογισμόν. οὐ γὰρ τῷ συμβεβηκότι πῦ ὑπάρχον, καὶ τῷ ὑποκειμένῳ ἀνάγκη ὑπάρχειν. ὅτι οὐδὲ ταυτόν ἐστὶ τὸ συμβεβηκὸς χωρὶς ὃν ἦ ᾧ συμβέβηκε καὶ πρὸς αὐτὸ συγκρινόμενον, καὶ μετὰ τοῦ ᾧ συμβέβηκε πρὸς τὸ ᾧ συμβέβηκεν μόνον συγκρινόμενον οἷον εἴ τις εἴποι. ὁ κορίσκος, ἄνθρωπος, ὁ ἄνθρωπος, ἕτερος κορίσκου, ὁ κορίσκος ἄρα ἕτερος ἀνθρώπου. λέγεται δὲ καὶ τὸ σόφισμα περὶ τὸ συμβεβηκὸς, ὅτι οὐ ταυτόν ἐστὶ τὸ συμβεβηκὸς χωρὶς τε καὶ μετὰ τοῦ ᾧ συμβέβηκεν· ὡς περὶ γὰρ ὡς ἔοικε τοῦ αὐτοῦ ἡμῖν παραδείγματος ὁ σοφιστὴς λέγων, ὁ σωκράτης, λευκόν, τὸ λευκὸν, χρῶμα. ὁ σωκράτης ἄρα χρῶμα. ἐν μὲν τῇ προτάσει τῇ ὁ σωκράτης λευκός, τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκε ὁμοῦ ὡς ἕν τι λαμβάνει. ἐν δὲ τῇ, τὸ λευκὸν, χρῶμα, τὸ συμβεβηκὸς μόνον χωρὶς τοῦ ὑποκειμένου. οὕτω καὶ ὁ λέγων, ὁ κορίσκος, ἄνθρωπος τὸ σύναμφότερον λαμβάνει τὸν συγκατατεταγμένον τῷ κορίσκῳ ἄνθρωπον, καὶ τὸν κορίσκον· ἐν δὲ τῇ, ἄνθρωπος ἕτερος κορίσκου, τὸν ἀκατάτακτον αὐτὸν τὸν καθόλου· περὶ τὸ συμβεβηκὸς ἄρα. οὐ γὰρ ὅσα συμβέβηκε τῷ ἁπλῶς κατηγορουμένῳ τῷ ἀνθρώπῳ τῷ καθόλου, ταῦτα ἀνάγκη καὶ τῷ συγκατατεταγμένῳ καὶ συνθέτῳ ὑπάρχειν· τῷ μὲν γὰρ ἁπλῶς συμβέβηκε, τὸ ἕτερον εἶναι κορίσκου· οὐκ ἀνάγκη τοίνυν τοῦτο καὶ τὰ τοῦ κορίσκου κατηγορεῖσθαι. ὅπη δὲ καθ' αὑτὸ προσεστι τῷ ἁπλῶς ἀνθρώπῳ. ὅσα μὲν γὰρ τοιοῦτόν ἐστιν ὡς ὑπάρχει τοῦτο, ταῦτα διλοῦ ὅτι καὶ τῷ κορίσκῳ ὑπάρξει. ὅπα δὲ μὴ οὕτω ὡς καθ' αὑτὸ, ἀλλ' ὡς συμβεβηκότι, ὡς ἐν ὑποκειμένῳ αὐτῷ τὸ εἶναι ἔχει, οὐκ ἀνάγκη καὶ τῷ κορίσκῳ ταῦτα ὑπάρχειν. οἷον, τῷ βροτῷ τῷ κατηγορουμένῳ πολλὰ συμβέβηκε, τὸ δυσύλλαβον εἶναι, τὸ ἕτερον κορίσκου. τὸ εἶδος ζώου τὸ ἔμψυχον, τὸ ἀθανατικόν. οὐκ ἀνάγκη οὕτω ταῦτα πάντα, ἐπειδὴ τῷ κατηγορουμένῳ συμβέβηκεν, καὶ καθ' οὗ κατηγορεῖται ὑπάρχειν. οὐ γὰρ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ἐνθήσεται· ὡς ἐν ταῖς κατηγορίαις ἐμάθομεν. τὸ αὐτὸ καὶ ἐπὶ τῶν γενῶν καὶ εἰδῶν. ὅσα μὲν γὰρ ἐν τῇ οὐσίᾳ τοῦ γένους ἐστὶ συμπληροῦντα αὐτοῦ τὸ εἶναι, ταῦτα ἀνάγκη καὶ τῷ εἴδει ὑπάρχειν· ἐπεὶ καὶ τὰ γένη σώζωμεν ὡς τῶν εἰδῶν κατηγορ

πρᾶγμα συμβεβηκός

--ιακατ

Aristoteles

συμπληρωῶν τὰ αὐτοῦ τὸ εἶναι

τὸν ἀκατάτακτον αὐτὸν τὸν καθόλου

Quid dicatur accidere generi

ρεῖται. ὅσα δὲ συμβέβηκε τῷ γένει, οὐ πάντως ταῦτα καὶ ἑκάστῳ τῶν αὐτοῦ εἰ-
δῶν, ἀνάγκη συμβεβηκέναι. συμβεβηκέναι γὰρ τῷ γένει λέγεται καὶ ὅσα ἑνὶ
τινὶ εἴδει τῶν ἐν τῷ γένει συμβέβηκεν, ἢ καὶ ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ. οἷον τῷ
ζώῳ συμβέβηκε τὸ λευκὸν, ἐπεὶ ὁ κύκνος ζῶον ὢν λευκὸς ἐστὶ. τὰ δὴ οὕτω συμ-
βεβηκέναι λεγόμενα τῷ γένει, οὐκ ἀνάγκη καὶ τῷ εἴδει συμβεβηκέναι ἢ μᾶλ-
λον τὸ ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγο-
ρουμένοις καὶ καθ' οὗ κατηγορεῖται, τοιοῦτον ἐστίν. συμβέβηκε τῷ σωκρᾶτει
ἀνῷ εἶναι. ἐπεὶ οὖν τῷ αὐτῷ πολλὰ ὑπάρχει, οὐκ ἀνάγκη ταῦτα πάντα ὅσα
πᾶσι τοῖς κατηγορουμένοις ἕπεται (τοῦτο γὰρ λείπει) καὶ τῷ ὑποκειμένῳ ἕπε-
σθαι. τοῦτο γὰρ ἦν τε καθ' οὗ κατηγορεῖται. οὐ γὰρ ὅσα ὑπάρχει τῷ ζώῳ καὶ τῷ
λογικῷ, ταῦτα καὶ τῷ σωκράτει ὑπάρχει. οὔτε γὰρ ὁ σωκράτης διαφορὰ ἐστὶν,
ἐπειδὴ τὸ λογικὸν τὸ κατὰ τοῦ σωκράτους λεγόμενον. οὔτε δυσύλλαβον, διό-
τι καὶ τὸ ζῶον δυσύλλαβον. ὁσαύτως δὲ οὐκ εἰ ὑπάρχει τῷ κορίσκῳ ὁ ἄνθρω-
πος, τῷ δὲ ἀνῷ τὸ ἕτερον εἶναι κορίσκου, καὶ τῷ κορίσκῳ τὸ ἕτερον εἶναι κορίσκου
ὑπάρξει. ὅτι τῷ ἀνῷ, τὸ ἕτερον εἶναι κορίσκου κατὰ συμβεβηκὸς ἦν, εἰδὲ τὸν ἄν-
θρωπον συμβεβηκέναι τῷ σωκράτει εἴπομεν, κατὰ χρηστικώτερον τοῦτο λέγε-
ται, ἀντὶ τοῦ ὑπάρχειν καὶ κατηγορεῖσθαι αὐτοῦ. ἄλλως τε δὲ καὶ αὐτὸς ὁ ἀριστο-
τέλης ἐν τῇ τῶν πρός τι διδασκαλίᾳ, κατὰ συμβεβηκὸς τὸν σωκράτην ἀνῶν
εἶναι φησί. ἡμεῖν οὖν τῶν λεγομένων διάνοια τοιαύτη τίς ἐστί. κατὰ δὲ τὴν λέξιν εἰ
μὲν τὸ, ὁ κορίσκος ἕτερον ἀνοῦ. ὡς ἴσον ληφθείη τῷ, ὁ ἀνὸς ἕτερον κορίσκου. σύ-
νηθες δὲ ἐστὶ τῷ ἀριστοτέλει τοῦτο ποιεῖν. καὶ πολλαῖς τοιαύταις ἑρμηνείαις κεχρῆ-
σθαι, σαφὲς ἐστὶ τὸ λεγόμενον. καὶ εἴη ἡ μείζων πρότασις τοῦ παραλογισμοῦ αὕ-
τη. τὸ γὰρ ἐστὶν ἀνὸς ἡ ἐλάττων. ὡς γίνεσθαι τὸν συλλογισμὸν ἐν ἀ σχήματι οὕ-
τως. ὁ κορίσκος ἀνὸς. ὁ ἀνὸς ἕτερος κορίσκου. ὁ κορίσκος ἄρα αὐτὸς ἑαυτοῦ ἕτε-
ρος. εἰδὲ μὴ οὕτω τὸ χωρίον μετὰ ληφθὲν ἑρμηνευθείη, ἀλλ' ὥς περ κεῖται ἐν τῷ ἐ-
δαφίῳ γεγραμμένον ληφθείη, δύο συλλογισμοὺς ἐν τοῦθεν μανθάνομεν. παρι-
στῶντος τοῦ μὲν ἑνὸς, τὸν κορίσκον οὐκ ἀνὸν. τοῦ δὲ ἑτέρου, τὸν κορίσκον ἕτερον
αὐτοῦ. λέγει δ' ἀν. καὶ ἑκατέρου μόνας τὰς ἥττους προτάσεις. καὶ ἐστὶ τὸ μὲν
ὁ κορίσκος ἕτερος ἀνθρώπου, πρότασις τοῦ τοιούτου συλλογισμοῦ ὁ κορίσκος
ἕτερος ἀνθρώπου. τὸ δὲ ἕτερον ἀνθρώπου, οὐκ ἄνθρωπος. ὁ κορίσκος ἄρα οὐκ ἄν-
θρωπος. τὸ δὲ, ἐστὶ γὰρ ἀνὸς. τοῦ ἑτέρου συλλογισμοῦ ἥττων πρότασις. ἔστι καὶ αὐ-
τὸς τοιοῦτος ὁ κορίσκος, ἀνὸς. ὁ ἀνὸς ἕτερος κορίσκου. ὁ κορίσκος ἄρα ἕτερος
ἀνθρώπου. ὅμοιον τούτοις καὶ τὸ ἐφεξῆς παράδειγμα. πλὴν ἐν τούτῳ καὶ ἀμ-
φοτέραι αἱ προτάσεις ἐλήφθησαν. ἡ μὲν γὰρ εἰ σωκράτους ἕτερος, ἡ μείζων ἐ-
στίν. ἡ δὲ, ὁ σωκράτης ἀνὸς, ἡ ἐλάττων. καὶ ἐστὶ τοιοῦτον. ὁ σωκράτης ἀνὸς. ὁ ἀνὸς
ἕτερος σωκράτους. ὁ σωκράτης ἄρα ἕτερος σωκράτους. τὸ δὲ λέγων, ἕτερον ἀνοῦ
ὡμολογηκέναι, ταὐτὸν ἐστὶ τῷ, ἕτερον σωκράτους. ὁ γὰρ σωκράτης, ἄνθρωπος προ-
στίθησι δὲ καὶ τὴν αἰτίαν τῶν πόθεν συμβαίνειν τὸν σωκράτην ἕτερον ἑαυτοῦ εἶναι. διὰ
γὰρ τὸ

Socrati cōtingit hominē esse ut aristotelis tradit in prædicamēto ad aliqd. de quo uide paulo post

∴ χωρίς

∴ certo quodam modo. i. secundū qd. Quid autem sit ἁπλῶς & πῇ.

γὰρ τὸ συμβεβηκέναι φησὶν οὗ ἕτερον ἔφησεν εἶναι τοῦτον ἄνθρωπον. ὁ τοιοῦτον ἔ-
χει τὸν νοῦν. ἐπειδὴ φησὶ συμβέβηκε τοῦτον δηλαδὴ τὸν σωκράτην ἀνὸν εἶναι
οὗ δὴ σωκράτους ἐν τῇ μείζονι προτάσει ἕτερον εἶναι τὸν ἀνὸν εἶπε τὸν καθό-
λου δηλονότι. οἱ δὲ περὶ τὸ ἁπλῶς τὸ δὲ ἢ πῇ λέγεσθαι καὶ μὴ κυρίως. β
τρόπος οὗτος ἐστὶ τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων. γίνονται δὲ καὶ ἐκ τούτου
οἱ παραλογισμοί. ὅταν τὰ πῇ ἤγουν ἡνωμένως καὶ ἅμα κατηγορούμενα τινός.
ὡς ἁπλῶς τίς τουτέστιν ἰδία καὶ χωρὶς κατηγορούμενα λήψαιτο, καὶ τὸ ἀνάπα-
λιν. τῶν γὰρ κατηγορουμένων, ὅσα μὲν κατὰ συμβεβηκὸς τῶν ὑποκειμένων κα-
τηγορεῖται, ὡς ἐν τῷ περὶ ἑρμηνείας δέδεικται. οἷον τοῦ ἀνθρώπου τὸ λευκὸν καὶ
τὸ μουσικὸν ταῦτα οὐ δυνατὸν καὶ διηρημένως καὶ συνημμένως κατηγορεῖσθαι.
ἐπεὶ συμβεβήκασιν ἄμφω τῷ αὐτῷ. διὰ τοῦτο οὐδὲ ὁ σκυτεὺς ἁπλῶς ἀγαθός.
διότι κατὰ συμβεβηκὸς τὸ ἀγαθὸς τοῦ σκυτέως κατηγορεῖται. εἰδέγε ἀνεπι-
σφαλῆ τίς τὴν κατηγορίαν ποιήσασθαι βούλοιτο, τὰ οὐσιωδῶς κατηγορούμε-
να τοῦ σκυτέως τὸ ζῶον καὶ τὸ δίπουν, ταῦτα δὴ ἰδίως κατηγορούμενα καὶ ἅ-
μα κατηγορεῖσθαι δύναται. ἀλλ' αὕτη μὲν ἡ χωρὶς γινομένη κατηγορία, δυνα-
μένη δὲ καὶ ἅμα λέγεσθαι. ἔστι δὲ τίς ἑτέρα κατηγορία, ἡ χωρὶς μὲν ἀληθῶς κα-
τηγορηθήσεται, ἅμα δὲ ψευδῶς. ὡς ἀνὸν τοῦ σίμωνος. κατὰ γὰρ τούτου κατηγο-
ρεῖται τὸ μὲν, σκυτεὺς, κατὰ τέχνην. τὸ δὲ, ἀγαθὸς κατὰ τὴν διαγωγὴν καὶ τὴν
ἐν ἤθεσιν εὐτροπίαν. τοιοῦτος γὰρ ἦν ὁ σκυτεὺς ἐκεῖνος ὁ τῷ σωκράτει συγγε-
γονὼς, τὴν μὲν σκυτικὴν οὐ πάνυ τι διακριβωσάμενος. τὴν δὲ ἕξιν τῆς ψυχῆς ἀ-
γαθός. τὰ γοῦν ἰδία τούτου κατηγορούμενα τὸ σκυτεὺς καὶ ἀγαθὸς, οὐ δύνα-
ται καὶ ὁμοῦ κατ' αὐτοῦ λεχθῆναι. εἰ γὰρ ἅμα κατηγορήσομεν, παραλογισμὸν
ποιήσομεν, ὡς ψευδόμενοι. οἷον σίμων σκυτεὺς ἀγαθός. ὁ ἀγαθὸς σκυτεὺς, ἀ-
γαθῶν πεδίλων δημιουργός. ὁ σίμων ἄρα ἀγαθῶν πεδίλων δημιουργός. ἐψεύ-
σμεθα τοίνυν. ὅτι ὁ σίμων σκυτεὺς μὲν ἦν τὴν τέχνην. ἀγαθὸς δὲ κατὰ τοὺς τρό-
πους. τὰ γὰρ ἁπλῶς κατηγορούμενα τοῦ σκυτέως, ἅμα κατηγορούμενα, τὴν ἁ-
πάτην ἐποίησαν. πάλιν πρόκειται ἀνὸς τεθνεὼς, διτταὶ φέρονται καὶ κατὰ τού-
του κατηγορίαι, ἥτε ἄνθρωπος καὶ ἡ νεκρὸς, ἀλλὰ συνημμένως μὲν τὰ δύο ταῦτα
ὀνόματα κατηγορῆσαι τοῦ προκειμένου ἀνθρώπου νεκροῦ, ἀνεπισφαλές. οὐ μὴν
δ' ἔτι διηρημένως. αὕτη πάλιν ἄλλη τίς ἐστὶ κατηγορία ἡ κατηγοροῦσα κατὰ τι-
νὸς, τινὰ ἅμα μὲν ἀληθῶς. χωρὶς δὲ ψευδῶς. καὶ πάλιν κατὰ τῆς λιθίνης χει-
ρὸς, ὁμοῦ μὲν κατηγορῆσαι καὶ τὸ λιθίνην καὶ χεῖρα ἀληθῶς. διηρημένως δὲ οὐ ἐκ
τῶν κατηγοριῶν οὖν τούτων οἱ παραλογισμοὶ οἱ περὶ τὸ πῇ καὶ ἁπλῶς γίνον-
ται, ὡς οὐδεὶ γινομένων τῶν συμπλοκῶν. οὔτε γὰρ πάντα τὰ ἅμα κατηγορού-
μενα, καὶ ἰδία κατηγορεῖται. οὔτε τὰ ἰδία καὶ ἅμα. ἀλλ' ἐκεῖνα καὶ ἅμα καὶ ἰδία
κατηγορεῖσθαι δύναται, ὅσα οὐσιωδῶς κατηγορεῖται τινός. ὅτι δὲ ἁπλῶς λέγε-
ται. τὰ χωρὶς κατηγορούμενα, πῇ δὲ τὰ ὁμοῦ, καὶ ἐν τῷ περὶ ἑρμηνείας περὶ τὸ
τέλος τοῦ γ τμήματος δέδεικται. ἐν οἷς φησί ὥς τε ἐν ὅσαις κατηγορίαις

Secundus modus fallaciæ à simpliciter ad secundū qd & c̄

Sutor amicus socratis. malꝰ arte, bonus moribꝰ

ἁπλῶς. i. seorsum

Quæ prædicata possunt & simul & seorsum de subiectis dici

./. ἀλλά

Lotu

μήτε ἐναντίας ἔχειν, ἐὰν λόγοι αὐτὴν ὀνομάτων λέγωνται, καὶ καθ' ἑαυτὰ καὶ
τηρεῖται καὶ μὴ κατὰ συμβεβηκός, οἷον τοῦ τὸν γε τί καὶ ἁπλῶς ἔσται ἀληθὲς
εἰπεῖν. λέγει γὰρ ἁπλῶς τὰ χωρὶς καταγορεύμενα. ἢ δὲ τὰ ὁμοῦ. οἷον, ὁ ὅμμα
σκυτάλης ἐστὶν ἁπλῶς· ὁμοίως καὶ τὸ ὅμμα ἀγαθὸς ἐστὶν ὃν ὅλως τοῦτο ἐστὶ
τῷ ὅμματι, τὸ ὁ ὅμμα, σκυτάλης ἀγαθὸς ἐστίν· ὀνομάζει δὲ τὴν σύνθετον κα
τηγορίαν. ὅτι καὶ τὸ μορικὸν ἐστί, καὶ πᾶσα σύνθεσις μερική· καὶ διότι ἡ σύνθε
τος κατηγορία μερικωτέρου ἐστὶ διαλυτικοῦ· τὸ γὰρ ζῷον λογικὸν· καθολικώτε
ρον ἐστὶ τοῦ ζῴου λογικὸν θνητόν· ὡς πᾶν καὶ τὸ ζῷον λογικὸν μερικώτερον τοῦ ζῴ
ου. πᾶν τὸ πᾶν οἷον φησὶ καὶ ἁπλῶς εἰσὶ παραλογισμοί, ὅταν τὸ ἐν μέρει. τοῦτ'
ἐστὶ τὸ ὁμοῦ λεγόμενον ἅμα καὶ ἀνωμοίως κατά τινος ὑποκειμένου λαμβά
νῃ ἁπλῶς τοῦτ' ἐστὶ χωρὶς ἀλλὰ μέρος λέγεσθαι. οἷον κατὰ τοῦ ὁμήρου λέγεται
σοφὸν μὲν ὅλως τὸ εἶναι ποιητήν. εἰ οὖν τις ἰδίᾳ λαβὼν τὸ εἶναι κατηγορῇ τοῦ ὁμή
ρου, καὶ εἴπῃ Ὅμηρος ἐστί. δοξάσεται. πάλαι γὰρ τέθνηκε. διὸ εἴπῃ ὁ Ὅμηρος ποιη
τής ἐστιν, ἀληθεύκει. τὸ ὁμοῦ λεγόμενον, εἰς τὸ ἁπλῶς μὴ λαβών, τοιαύτη τις ἐστὶ
καὶ ἡ πρὸ τοῦ ὀζαφοῦ τοῦ σοφίσματος ἀγωγή. λέγει γὰρ ὁ σοφιστής. οὐχὶ ὁ
τραγέλαφος μή ὄν ἐστιν; οὐχὶ ὁ τραγέλαφος δοξαστόν ἐστι, τὸ μὴ ὄν ἄρα ἐστίν.
ὁ συλλογισμὸς εἷς γ' σχήματι. τὸ σόφισμα δὲ παρὰ τὸ πᾶν καὶ ἁπλῶς. οὐ γὰρ
εἰ χωρὶς μὲν ὁ τραγέλαφος, καὶ μὴ ὂν εἶναι λέγεται καὶ δοξαστόν, ἤδη καὶ ἔστιν.
οὐ ταὐτόν ἐστι τὸ εἶναι τινὶ καὶ ἁπλῶς εἶναι. καὶ γὰρ ὡς μακρὸν ἀπῶθεν εἰρηκεν,
καὶ ὁ Ὅμηρος ἐστὶ τοιοῦτος ποιητής· ἀλλ' οὐχὶ καὶ ἁπλῶς ἐστίν. οὐ γὰρ ἔστιν ὁ ὂν μὴ
ὄν ἁπλῶς εἶναι δὲ καὶ ἕτερον παραλογισμόν γ', τὸν μὴ ὂν ἅμα λέγοντα. ἔστι δὲ
καὶ οὗτος ὁ πᾶν τὸ πᾶν καὶ ἁπλῶς. τὸ γὰρ τι μὴ ὂν καὶ ἁπλῶς φησὶ εἶναι μὴ ὄν. ἔστι
δὲ καὶ οὗτος ὁ συλλογισμὸς ἓν α σχήματι οὐχὶ τὸ οὐ ἕτερον ἐστὶν ἀνθρώπου;
οὐχὶ καὶ ἵππου καὶ βοὸς καὶ οὐρανοῦ καὶ γῆς καὶ ἁπλῶς πάντων τῶν ὄντων;
ναὶ. τὸ ἕτερον τῶν ὄντων, μὴ ὄν. τὸ οὖν ἄρα μὴ ὄν. λύει οὖν τοὺς τριούτους παρα λο
γισμοὺς διὰ τοῦ ἐναγομένου. οὐ γὰρ εἰ μὴ ἔστι τὸν, τί ὄν. οἷον ἄνθρωπος ἢ ἵπ
πος ἢ βοῦς, καὶ ἁπλῶς μὴ ὂν ἐστίν· καὶ πρόσθεν γοῦν ἡ ἀπάτη γίνεται φησὶ εἰ τις.
διαλυόμενος δὲ καὶ τοῦτο λέγει φαίνεσθαι ἐλεγχον. διὰ τὸ δοκεῖν ἢ μηδὲν ἢ
μικρὸν διαφέρειν τὸ εἶναι τί τοῦ εἶναι ἁπλῶς. τὸ γὰρ τι προκείμενον, μηδὲν τι
πλέον δηλοῦν οἰόμενα τοῦ εἶναι. τὸ δὲ αὐτὸ γίνεσθαι, καὶ ἆρα τοῦ μὴ εἶναι τί καὶ
ἆρα τοῦ μὴ εἶναι. τὸ γὰρ μὴ ὂν τί καὶ ἁπλῶς μὴ ὂν οἰόμενα. τοῦτο δὲ οὐκ ἐστίν. οὐ
γὰρ εἰ μὴ τόδε τί ἐστί, καὶ ἁπλῶς οὐκ ἐστίν ὁμοίως δὲ φησὶ τοὺς τοὺς ὁ παραλογισ
μὸς γίνεται, ὅταν τὸ πᾶν λεγόμενον ὡς ἁπλῶς τις λαβών, εἰς αὐτὸ φάσιν πορί
γῃ. οἷον εἴ τις ὄρνιθος, τὸν τὰ δίκαια λέγοντα χρὴ καταδικάζειν, ἢ τὸν τὰ ἄδικα.
τί δ' ὅταν ὑβριαθεὶς τίς καὶ τυφθεὶς καὶ χρημάτων ἀφαίρεσιν ὑπομείνας, εἶ
τα προελθὼν τῷ δικαστῇ καὶ ἐλεεινολογούμενος, λέγει ἃ πεπονθε, οὐχὶ τὰ ἄ
δικα λέγει; δῆλα γὰρ τὸν τοιοῦτον καταδικάζειν. πρὸς τὸ πᾶν οὗτος ὁ παραλογι

μός. οὐ γὰρ ἔστιν ἄδικα λέγει, καὶ ἁπλῶς ἄδικα τοιοῦτον καὶ τὸ πρὸς τοῦ ἀθέου
ρος. τὸ γὰρ πᾶν λευκὸν εἶναι. οἷον κατὰ τοὺς ὀδόντας λαβών, λέγει καὶ ἁπλῶς
εἶναι λευκόν. ἔστι δὲ ὅτε οἱ ὁρατωμμοι πρὸς τῶν σοφιστῶν στενοχορούνται τε
ρὶ τὴν ἀπόκρισιν, λέγει πῶς καὶ τοῦτο γίνεται φησὶ γὰρ ὅτι ἐπαίτιον μὲν οὐ λαμ
βάνει ὁ παραλογιζόμενος, ὅτι καὶ τὸ πᾶν λεγόμενον ὡς ἁπλῶς λεγόμενον λαμ
βάνει, ὡς πᾶν τοῦ ἀθίου ρος. πᾶν τί γὰρ ὄντος λευκοῦ, ὡς ἁπλῶς ὄντος λευκοῦ ἔλα
βε. καὶ οὕτω διαλεξάμενος ὁ σοφιστὴς οἴεται συλλογιστικῶς πεπαῖσθαι τὸν ἀθίου
πα εἶναι λευκὸν καὶ οὐ λευκόν. ἐπαίτιον μὲν οὖν φησὶ οὐ λαμβάνει. ἐπαίτιον δὲ
λαμβάνει πολλάκις. ἐφ' ὅσων πᾶν μὲν λέγεται καὶ δοκεῖν καὶ ἁπλῶς ἀκολου
θεῖν. τοιοῦτον γάρ ἐστι τὸ καὶ δόξειεν ἀκολουθεῖν. αὐτὶ τοῦ πᾶν μὲν λέγεται, καὶ
δοκεῖ καὶ τὸ ἁπλῶς ἀκολουθεῖν ὡς πᾶν τοῦ δὲ τοῦ σοφίσματος ἀρ' ἐνδέχεται
τὸν αὐτὸν ἅμα πᾶν ὀρκεῖν καὶ δύορκεῖν; οὐδ' ἅπα. τί δὲ ὁ ὁμόσας πᾶν ὀρκίζειν καὶ
πᾶν ὀρκίσας οὐκ δύορκησεν. ἐνδέχεται ἄρα τὸν αὐτὸν ἅμα πᾶν ὀρκεῖν καὶ δύορ
κεῖν ἓν. ἃ σχήματι τοιοῦτον σόφισμα ἐστίν. πᾶν τὸ παραλογισμός ἐ
στιν. οὐδὲν δὲ κατ' ἀτιμεν δύορκῶν καὶ ἁπλῶς δύορκεῖ. καὶ λανθάνει ὅτι οὐχ ἁ
πλῶς δύορκεῖ ἀλλὰ πᾶν. ἐπί τε οὖν τούτοις λανθάνει τὸ ἁπλῶς καὶ πᾶν. καὶ δοκεῖ
καὶ τὸ πᾶν καὶ ἁπλῶς λέγεσθαι ὡς καὶ ἐπ' ἐκείνων καὶ ἐν οἷς μὴ ἐφάδιον θεωρῆ
σαι πότερον τὸ πρᾶγμα χρὴ καλεῖν. οἷον τὴν αὐδρείαν λέγομεν καὶ καλόν, διὰ
τὸ ἀγαθὸν καὶ τὴν ἀρετήν. κακὸν δὲ διὰ τὰ ἐν πολέμῳ τραύματα καὶ τὰς σφα
γάς. πότερον οὖν χρὴ καλεῖν αὐτὴν καλὴν ἢ κακήν οὐ ῥᾴδιον εἰπεῖν. καὶ ὡς
τῶν τοιούτων τοίνυν λανθάνει πολλάκις ἐν οἷς ὁμοίως ὑπάρχει τὰ ἀντικείμε
να. ὡς εἴρηται ὡς τῆς αὐδρείας. ὁμοία γὰρ ἐστὶν ἐν αὐτῇ τὸ καλὸν καὶ κακόν.
ἀλλὰ καὶ ὡς τοῦ ὀφθαλμοῦ. τούτου γὰρ τὸ μὲν ἥμισυ λευκόν. τὸ δὲ ἥμισυ οὐ τον
οὗτον. οὐκ ὡς τούτων δὲ μόνων γίνεται σοφιστὴς τὸ λεγόμενον. ἀλλὰ καὶ ἀφ' οὗ
φησὶ αὐτὸς ἄλλα χοῦ ὑποδείγματος. ὅταν γάρ τι μέγεθος εἴη, τῷ μὲν πλατύ,
δίπηχυ, τῷ δὲ μήκει, τετράπηχυ. ἔπειτα ὁρατώμενα. πότερον πόδες τὸ μέγε
θος δίπηχυ ἐστὶν ἢ οὔ. ὡς ὁ τοιούτου γοῦν οὐ ῥᾴδιον εἰπεῖν ἢ τὸ ναί, ἢ τὸ οὔ. ἀλ
λὰ καὶ ἀναγκαζόμενα ἢ ἄμφω δοῦναι καὶ εἰπεῖν καὶ δίπηχυ καὶ τετράπηχυ, καὶ
οὐ διαλεκτικῶς ἀπεκρινόμεθα. καὶ τὸ ναὶ γὰρ φαμέν, καὶ τὸ οὔ. ἢ γοῦν καὶ ἄμφω
ὡς τοῦ τοιούτου δοκεῖ δίδοναι, ἢ μηδέτερον. οἱ δὲ πρὸς τὸ μὴ διωρίσθαι τί ἐστὶ
συλλογισμός. ὁ γ' πρόπος τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων ἐστὶν ὁ πρὸς
τὴν ἀγνοιαν λεγόμενος. ὃς οὐ τῷ λέγεται, ὅτι ὁ εἰδὼς τί ποτε ἐστὶν ἔλεγχος οὐ
πρὸς τὸν ἐρόμενον τοιούτῳ σοφίσματι. ἔλεγχος γὰρ ἐστὶ τοῦ αὐτοῦ καὶ ἑνός, καὶ
ἐξῆς ὅσα. ἀλλὰ ἐν τῷ ὁρισμῷ τοῦ ἐλέγχου κεῖνται. ὁ δὲ κατὰ σοφιστικὸν τρόπος
διά τινος τῶν ἐν τῷ ἐλέγχῳ κειμένων τῷ κυρίως, οὗτος οὐκ ἠλέγχη. ὅταν δέ τις
ἐλέγχειν ἢ αὐτοῦ καὶ ἑνὸς ὀνόματος ληφθέντος, καὶ τῶν ἄλλων ἁπάντων τῶν
πρὸς τὸν ἀληθοῦς καὶ κυρίως ἐλέγχου διοριζομένων. τότε δ' ἦπα καὶ ἐλέγχεσθαι

λέγοιτ' ἀν καὶ εἰς ἀντίφασιν πρὸς ἄγεσθαι. γίνονται δὲ οἱ πρὸς τὴν τοῦ ἐλέγχου ἄγνοιαν παραλογισμοί, παρὰ τὴν ἔλλειψιν τοῦ λόγου τουτέστι τοῦ ὁρισμοῦ τοῦ ἐλέγχου. ὁ γὰρ πρὸς τί τῶν ἐν τῷ ὁρισμῷ τοῦ ἐλέγχου σοφιζόμενος ὡς εἰρήκαμεν πρὸς τὴν τοῦ ἐλέγχου ἄγνοιαν παραλογίζεσθαι λέγεται. ἢ πρὸς τὴν ἔλλειψιν τοῦ λόγου τοῦτο δηλοῖ. ὅτι πρὸς τὴν ἔλλειψιν τοῦ συλλογισμοῦ. ἐπεὶ γὰρ καὶ ὁ ἔλεγχος συλλογισμὸς τίς ἐστί. καὶ ὥσπερ ὁ συλλογισμὸς ἐκ τῶν κειμένων ὀφείλει συνάγειν τὸ συμπέρασμα, μὴ ὁμωνύμου τινὸς λαμβανομένου μὴ συναριθμουμένου τοῦ ἐξ ἀρχῆς. οὕτω καὶ ὁ ἔλεγχος ὀφείλει ἔχειν. ἀνὰ δεῖ πρότερον πᾶσαν τὴν λέξιν θέντας τὰ πρὸς τοῦ ὁρισμοῦ τοῦ ἐλέγχου κατὰ λέξιν κατασκοπῆσαι. ἔλεγχος ἐστὶν ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνός. εἰ γὰρ μέλλομεν ἐλέγξαι τὸν ἡμῖν προσδιαλεγόμενον παρὰ τὸ εἰκὸς ἐνιστάμενον, ὀφείλομεν αὐτὸν ἑαυτῷ μαχόμενον ἀπελέγχειν καὶ τὰ ἐναντία ἀποφαινόμενον. τοῦτο γὰρ καὶ ἀντίφασις λέγεται, ὅταν πρὸς τοῦ αὐτοῦ καὶ ἑνὸς τὰ ἐναντία λέγοι τίς, οὐ πρὸς ἄλλου καὶ ἄλλου. εἰ γὰρ φαίημεν πρᾶτωνα μὲν διαλέγεσθαι, σωκρᾶτην δὲ μὴ, οὐδὲν ἐναντίον ἐστὶν διὰ τοῦτο εἰπὼν ἀντίφασιν, ἐπήγαγε τοῦ αὐτοῦ καὶ ἑνός. οὐ γὰρ πρὸς ἄλλου φησὶ πειρᾶσθαι προσάγειν τῷ προσδιαλεγομένῳ τὸν ἔλεγχον. οὐ γὰρ ἔλεγχος τοῦτο, ἀλλὰ πρὸς ἑνὸς καὶ τοῦ αὐτοῦ. ὁμοίως τούτῳ καὶ ὁ λέγων πάντα ἄγγελλον ἀγαθὸν καὶ οὐδενὰ δαίμονα ἀγαθὸν οὐκ ἐλέγχει τὸν λέγοντα τὰς ἐναντίας προτάσεις ἀλλὰ τῆς ἐνδεχομένης ὕλης συμψεύδεσθαι. οὐ γὰρ ἀλλὰ τοῦ αὐτοῦ ὑποκειμένου, ἀλλ' ἐπ' ἄλλου καὶ ἄλλου τὸν λόγον συνεπεράνατο. δεῖ δὲ ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ. εἶτα ἐπεὶ πολλὰ ἓν ὄντα τῷ ὀνόματι, τὴν φύσιν διάφορα τυγχάνει ὡς τὰ ὁμώνυμα, ἐπήνεγκε μὴ ὀνόματος ἀλλὰ πράγματος. οἷον μὴ ὀνόματος μόνον ἀλλὰ καὶ πράγματος. οὐ γὰρ μόνον τὸ ὄνομα ἓν δεῖ εἶναι, ἀλλὰ καὶ τὸ σημαινόμενον πρᾶγμα ἕν. τὸ γὰρ μὴ ὀνόματος, ἀντὶ τοῦ μὴ μόνον ὀνόματος τέθεικεν. οἷον κύων ὑλακτεῖ. κύων οὐκ ὑλακτεῖ. ἐπεὶ δὲ οὐ μόνον ἐξ ὁμωνυμίας συμβαίνει τὰ ἐναντία λέγοντα μὴ διαψεύδεσθαι, ἀλλὰ καὶ ἀπὸ συνωνυμίας. ἔστι γάρ τινα τἀναντία λέγειν καὶ ἀληθεύειν. οἷον ζῶον πρὸς πατεῖ. ζῶον οὐ πρὸς πατεῖ. ἐνδέχεται γάρ τινα μὲν πρὸς πατεῖν. τινὰ δὲ μή. ἐπήγαγε καὶ ὀνόματος μὴ συνωνύμου, ἀλλὰ τοῦ αὐτοῦ καὶ ἑνὸς μήτε ὁμωνύμου μήτε συνωνύμου. κἀκ τῶν δοθέντων ἐξ ἀνάγκης. ἐστὶν ὅμοιον τοῦτο τῷ ἐν τῷ ὁρισμῷ τοῦ ἀπροῦ συλλογισμοῦ λεγομένῳ τῷ ἐκ τῶν κειμένων ἐξ ἀνάγκης. εἰ γάρ τις πειρῷ ἐλέγχειν τὸν προσδιαλεγόμενον μὴ ἐξ ὧν αὐτὸς ὁ προσδιαλεγόμενος δίδωσιν, οὐ ληφθήσεται οὗτος ἐλέγχειν. μὴ συναριθμουμένου δὲ φησὶ τοῦ ἐν ἀρχῇ, τουτέστι μὴ λαμβανομένου τοῦ ζητουμένου εἰς λόγον τῆς ἀποδείξεως. οὐ γὰρ δι' ἑαυτοῦ χρὴ δείκνυσθαι τὸ μὴ δι' ἑαυτοῦ δῆλον. ὅτι μὴ δὲ ἔλεγχος τὸ τοιοῦτον. ἔστι δὲ τὸ τοιοῦτον ὅταν ὁ μέσος ὅρος ὁ αὐτὸς τινὶ τῶν ἄκρων ληφθῇ μετωνομαζομένου μέντοι καὶ ἄλλως κατὰ τὴν προφορὰν ἐκφερόμενος. ζητουμένου γὰρ τοῦ εἰ ἀθάνατος ἡ ψυχὴ, τὸ οὕτως εἰπεῖν, ὅτι ἡ ψυχὴ ἀθάνατος καὶ ἑτέραν σὺν ταύτῃ ἐπαγαγεῖν πρότασιν, κομιδῇ ἠλίθιον ἐστίν. ὁ γοῦν τὸ ἐν ἀρχῇ βουλόμενος παραλαμβάνειν, μετὰ λαμβάνει εἰς ἕτερον ἰσοδύναμον ὄνομα τῷ ζητουμένῳ, καὶ οὕτω ποιεῖται τὸν παραλογισμόν. οἷον εἴ τις ἔρροιτο, πότερον ἡ ψυχὴ ἀθάνατος ἢ οὔ; τοῦ δὲ ἀποκρινομένου ἀπαρνησαμένου τὸ εἶναι αὐτὴν ἀθάνατον. αὐτὸς οὑτωσὶ συλλογίζεται. ἡ ψυχὴ ἄφθαρτος. τὸ ἄθαρτον ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. ἀνὰ μὴν καὶ οὐκ ἀθάνατος κατὰ σέ. οὐκ ἐλέγχει ὁ οὕτω συλλογιζόμενος τὸν λέγοντα αὐτὴν μὴ ἀθάνατον. τὸ γὰρ ἐν ἀρχῇ ἠτήσατο. ὁ γὰρ ἔμελλε δεῖξαι ἔλαβε. τὸ γὰρ ἡ ψυχὴ ἄφθαρτος ταὐτὸν ἐστὶ τῷ ἡ ψυχὴ ἀθάνατος. εἴρηται δὲ τῷ ἀριστοτέλει πρὸς τὴν ἐν ἀρχῇ ἀντεῖσθαι, καὶ λαμβάνειν τοῦτο τίποτε ἐστὶ καὶ πῶς γίνεται ἐν τῷ β τῶν προτέρων ἀναλυτικῶν. δεῖ δὲ τὸν ἔλεγχον καὶ κατὰ τὸ αὐτὸ εἶναι. εἰ γὰρ ἓν καὶ τὸ αὐτὸ εἴη τὸ ἠρωτημένον, μήτε ὁμώνυμον μήτε συνώνυμον μήτε τὸ ἐν ἀρχῇ ληφθῇ, κατὰ ἄλλο δὲ καὶ ἄλλο μέρος λέγοιμέν τι τῷ αὐτῷ ὑπάρχειν, ἀληθεύειν συμβήσεται. οἷον ὁ αἰθίοψ λευκός. ὁ αἰθίοψ οὐ λευκός. κατὰ μὲν τὴν ἀλλοφάνειαν οὐ λευκός. κατὰ δὲ τοὺς ὀδόντας λευκός. δεῖ οὖν καὶ κατὰ τὸ αὐτό. ἵνα μὴ κατ' ἄλλο καὶ ἄλλο μέρος λέγωμεν τί ὑπάρχειν. οὐ μὴν ἀνὰ καὶ πρὸς τὸ αὐτὸ φησί, ἀνὰ οὐ πρὸς ἄλλο καὶ ἄλλο, ἀνὰ πρὸς αὐτὸ δεικνύναι καταφάσκοντα καὶ ἀποφάσκοντα τὸν προσδιαλεγόμενον, εἰ μέλλοι μὲν αὐτὸν ἐλέγχειν ἑαυτῷ ἀντιφάσκοντα. ὁ γὰρ συλλογιζόμενος τὸν δύο δίπρασιόν τε καὶ οὐ δίπρασιον, οὐκ ἐλέγχει τὸν λέγοντα αὐτὸν μὴ δίπρασιον εἶναι. οὐ γὰρ πρὸς τὸν αὐτὸν καὶ ἕνα ἀριθμὸν δείκνυσιν αὐτὸν δίπρασιόν τε καὶ οὐ δίπρασιον. ἀνὰ πρὸς ἄλλον καὶ ἄλλον. πρὸς μὲν τὸ ἕν, δίπρασιον. πρὸς δὲ τὰ δ' οὐ δίπρασιον. ἀνὰ καὶ ὡσαύτως φησί. ἢ μὴ τὸν μὲν τὸ δυνάμει λαμβάνειν, τὸν δὲ τῷ ἐνεργείᾳ δίδοναι. οὐδὲ γὰρ οὐδὲ οὕτως ἐστὶν ἀντίφασις. ὁ γὰρ λέγων ὅτι ὁ κοιμώμενος ὄψιν ἔχει. ὁ ἔχων ὄψιν ὁρᾷ. ὁ κοιμώμενος ἄρα ὁρᾷ. οὐκ ἐλέγχει τὸν λέγοντα μὴ ὁρᾶν τὸν κοιμώμενον. τὸ γὰρ ὁ ὄψιν ἔχων ὁρᾷ, δύο σημαίνει. τὸν ἔχοντα καὶ μὴ ἐνεργοῦντα δυνάμενον δὲ ἐνεργεῖν, καὶ τὸν ἤδη ἐνεργοῦντα. καὶ ἐν τῷ αὐτῷ δὲ φησὶ χρόνῳ. τὸ γὰρ κατ' ἄλλον καὶ ἄλλον χρόνον, φαῦλόν τε καὶ οὐ φαῦλον λέγειν τὸν αὐτὸν, οὐκ ἀδύνατον. ὁ δὲ λέγων πάντα ἄνθρωπον ἀλλὰ τοῦ παρ' ἡσιόδου χρυσοῦ γένους ἀγαθὸν εἶναι, καὶ οὐδένα ἀλλὰ τοῦ σιδηροῦ ἀγαθόν. εἶτα συνάγων πάντα ἄνον καὶ μηδένα ἄνθρωπον ἀγαθὸν εἶναι, οὐκ ἐλέγχει τὸν μὴ τοῦτο λέγοντα. ὁ γὰρ ἔδειξεν ἐν τῷ αὐτῷ χρόνῳ ἀγαθοὺς εἶναι καὶ μὴ ἀγαθοὺς πάντας ἀνθρώπους. οὗ δεικνύντος ἀληθὴς ἂν ἦν ἔλεγχος. ἀνὰ ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ. ἀνὰ καὶ ὁ λέγων ὅτι τὸ σκυλάκιον ὁρᾷ, τὸ σκυλάκιον οὐκ ὁρᾷ. οὐκ ἐν τῷ αὐτῷ χρόνῳ συνάγει τὴν φαινομένην ἀντίφασιν. ἀνὰ ἐν ἄλλῳ καὶ ἄλλῳ. ταῦτα δὴ πάντα εἰδέναι χρέων τὸν μήτε ἀπατᾶσθαι ἐθέλοντα. μᾶλλον μὲν οὖν σπουδάζοντα καὶ τὸν ἀπατῶντα ἐλέγχειν. ὡς εἰ μὴ εἰδείη οὔτε ἐλέγχειν δυνήσεται. καὶ αὐτὸς τοῖς ἀπαταῖν ἐσπουδακόσιν ἁλώσεται. καὶ τοῦτο ἐστὶ τὸ πρὸς τὴν

Elenchi diffinitio

Contradictionis .i. ἀντιφάσεις diffinitio

Aristotelis

Hesiodus

του ἐλέγχου ἀγνοιαι. ἐπωνὼ δ' ἐ τις ἐστὶν ὁ κυρίως ἔλεγχος, καὶ τοῦθεν δ' εἰρᾶς
ὡς οἱ κατὰ τὸν διορισμὸν τοῦ ἐλέγχου τούτου ἐλεγχόμενοι, κυρίως ἐλέγχον-
ται· ἐξῆς φησι κατὰ τὸν αὐτὸν δὲ τρόπον γίνεσθαι καὶ τὸ λύειν καὶ τὸν λύοντας.
ὡς γὰρ γῆ τὸ ἀληθῶς ἐλέγχεσθαι γίνεται, ὅταν δέ τις εἰς ἀντίφασιν πορεύεσθαι
τοῦ αὐτοῦ καὶ ἑνὸς ληφθέντος πράγματος· καὶ ὅταν μὴ σύμβαλλωμεθα τὸ ἐν ἀρ-
χῇ· οὕτω καὶ τὸ λύειν καὶ λύειν γενέσθαι τὸν παραλογισμὸν συμβαίνει.
ὅταν ἢ ὁμώνυμον ληφθῇ ἢ τὸ ἐν ἀρχῇ σύμβαλλωμεθα. καὶ διὰ τοῦ ἑπομένου μά-
λιστα τοῦτο σαφηνίζει. ἔνιοι γὰρ φησὶν ἀσυλλόγιστον τὸν ἢ τῶν λεχθέντων, φαίνονται
ἐλέγχειν, οὐκ ἐλέγχοντες· δεῖ δὲ πρῶτος δὲ τὸν ὁρισμὸν τοῦ ἐλέγχου τοῦ πρὸς αὐ-
τὸ καὶ τοῦ κατὰ συμβεβηκὸς παραδείγματα. φησὶ γὰρ ὅτι φαίνονται ἐλέγ-
χοντες, ὅταν λέγωσιν τὰ δύο διάμετρα· τὰ δύο οὐ διάμετρα. τοῦ μὲν γὰρ ἑνὸς διά-
μετρον. τῶν δὲ τριῶν οὐ διάμετρον. καὶ τοῦτο μὲν ἔφησεν ἐνδεικνύμενος τὸ πρὸς
αὐτό· εἰ γὰρ τις τὰ δύο διάμετρα τοῦ ἑνὸς ἀσυμβέτρου δείξειε καὶ τοῦ αὐτοῦ πάλιν οὐ
διάμετρον· τότε καὶ κυρίως ἐποιήσατο ἔλεγχον. τὸ δὲ παράδειγμα β
τιθέμενον εἰς ἔνδειξιν τοῦ κατὰ συμβεβηκὸς τέλειον. οὐ γὰρ οὐδὲ τὸ μέγεθος
ἑτέρου λέγων ἄρα διάμετρον καὶ οὐ διάμετρον; κατ' ἄλλο δὲ καὶ ἄλλο. οἷον κα-
τὰ μὲν τὸ μῆκος διάμετρον· κατὰ δὲ τὸ πλάτος οὐ διάμετρον, οὐδὲ οὕτως ἔλεγχον
ἐποίησε· τότε γὰρ ἐστὶν ἀληθὴς ὁ ἔλεγχος, εἰ καὶ τὸ μέγεθος τὸ δὲ κατὰ τὸ μῆκος
μόνον ἐδείκνυτο διάμετρον καὶ διάμετρον· τὸ δὲ ἑξῆς τούτων τίθησι δεικτικὸν τοῦ
μὴ μόνον καὶ κατὰ τὸ αὐτὸ καὶ πρὸς αὐτὸ καὶ ὡσαύτως ὀφείλειν ἔχειν, εἰ μέλλει ἀ-
ληθὴς ἔλεγχος μέλλειν ἔσεσθαι ὁ τὴν ἀντίφασιν τοῦ αὐτοῦ καὶ ἑνὸς συναίρων,
ἀλλὰ καὶ τὸ ἐν τῷ αὐτῷ χρόνῳ ὀφείλειν κατασκευάζεσθαι. εἰ γὰρ τὸ αὐτὸ μὲν καὶ
ἐν ἔστι τὸ πρᾶγμα, μὴ λαμβανομένου τοῦ ἐξ ἀρχῆς, μήτε κατ' ἄλλο καὶ ἄλλο
μόριον λέγοιτο, οὐ λαμβάνοιτο δὲ καὶ ἅμα τοιοῦτον ἐν τῷ αὐτῷ καὶ ἐν χρόνῳ, φα-
νόμενος ἔλεγχος γενήσεται· τοιοῦτον καὶ τὸν ἔλεγχον τὸν ἀληθῆ· ὃς πῶς
ἐστὶν ἀκριβῶς διορισάμενος ἐπάγει· ἔλκοι δ' ἂν τις τοῦτον τὸν τρόπον τὸν σοφιστικὸν
τὸν πρὸς τὴν τοῦ ἐλέγχου ἀγνοιαν. καὶ εἰς τοὺς πρὸς τὴν λέξιν. ὁ γὰρ πρὸς τὴν ὁ-
μωνυμίαν καὶ ὁ πρὸς τὴν ἀμφιβολίαν τῶν πρὸς τὴν λέξιν ἐστὶν τρόπων. τὸ δὲ ὁ
κοιμώμενος ὄψιν ἔχει, ἀμφίβολον· ἢ γὰρ ὃ πεπόρευκε τῇ ὄψει δύναται τις ὑ-
πονοεῖν ἢ ὃ πεπόρευκεν. οἱ δὲ πρὸς τὸ ἐν ἀρχῇ λαμβάνειν γίγνονται μὲν οὗ-
τως· ὁ τὸ ἐν ἀρχῇ λαμβάνων παραλογισμὸς τέταρτος ἐστὶ τρόπος τῶν ἐκ
τῆς λέξεως σοφισμάτων καὶ εἴρηται πρὸ τούτων πρὸ βραχέος ὅπως γίνο-
ται. προκειμένου γὰρ τοῦ προβλήματος τοῦ ὅτι ἡ ψυχὴ ἀθάνατος, λαβὼν τὸ
ἄφθαρτος καὶ ἀΐδιος ὡς ἕτερα ὄντα καὶ μὴ ταυτὰ τῷ ἀθανάτος, συμπεράνατο
τὴν ψυχὴν ἀθάνατον. εἴρηται δὲ πλεονάκις ἐν τοῖς β τῶν πρότερων αἰτιολυτι-
κῶν. οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ ὀγδόῳ τῶν τοπικῶν σαφέστατον εἴρηται, ὡς ταυτα-
χῶς εἴρηται. παραλογίζονται δὲ οἱ μὴ δυνάμενοι σύνορᾶν ὅτι ταυτὸν ἐστὶ τὸ ἀ-

Quarta falla cia petitionis principij Aristot Aristote.

φθάρτον καὶ τὸ ἀθάνατον, καὶ ἀτάκτων ταυτὸν τῶν σοφιστῶν μηδὲν ἄτοπον δεικνυόν-
των, ἀλλ' ἑτέρου τὸ δεικνύντων τὸ μὲν ἕτερον τὸ δ' ἄλλο, καὶ πρότασιν προτεινόμενον τὸ
πρόβλημα. ὅταν γὰρ ζητουμένου τοῦ εἰ ἀθάνατος ἡ ψυχὴ ἀθάνατος· λέγει ὁ σοφιστὴς ἡ ψυ-
χὴ ἄφθαρτος, τὸ ἄφθαρτον ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. οὐδὲν ἄτοπον δεικνύ-
σιν, ἀλλὰ τὸ ἐξ ἀρχῆς αἰτεῖται. ἀλλὰ καὶ πρότασις λέγεται ὅ πρόκειται τόπος, συ-
ναγαγεῖν τὸ ἄνω τόπον, οὕτω πως λέγων· εἰ ἐστὶν οὕτω καὶ κάτω, καὶ πρόσθεν
καὶ ὄπισθεν, καὶ δεξιὸν καὶ ἀριστερόν, ἐστὶ τόπος· ἀλλὰ μὴν ἐστὶν οὕτω καὶ κάτω
καὶ τὰ λοιπά, ἔστιν ἄρα τόπος· τὸ ἐν ἀρχῇ καὶ οὗ τοῦτο αἰτεῖται. ἢ τοι δεῖ δεῖξαι
ἐλάβετο αὐτῆς εἰκότως. εἰ γὰρ τὸ ὅλον, οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ ἑαυτοῦ μόρια· ὁ λέ-
γων εἰ ἐστὶ τὰ μόρια τοῦ τόπου, ἐστὶν ὁ τόπος, οὐδὲν ἄλλο φησὶν, ἢ ἐστὶ τόπος ἐστὶν ὁ
τόπος. ὁ δὲ πρὸς τὸ ἐπόμενον ἔλεγχος διὰ τὸ οἴεσθαι αὐτὴν τρέφειν τὴν ἀκο-
λουθησιν. ὁ πρὸς τὸ ἐπόμενον ἔλεγχος ἐ ἐστὶ τρόπος τῶν ἐκτὸς τῆς λέξεως
φαινομένων ἐλέγχων. μόριον δὲ ἐστὶ τοῦ πρὸς τὸ συμβεβηκὸς παραλογισμοῦ·
ὃς ἀ ἐστὶ τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων. τοῦτο δὲ καὶ αὐτὸς ὁ ἀριστο-
τέλης προτέρων ὄρει, ἀμφοτέροι γὰρ οὗτοι οἱ σοφισμοὶ ἀπὸ συμβεβηκότων ὥρμην
ται. διαφόρουσι ὅπου μὲν πρὸς τὸ συμβεβηκὸς οὐκ ἀντιτρέφει τοὺς ὅρους, ἀλλ'
οὕτως συλλογίζεται. ὁ σωκράτης, ζῷον. τὸ ζῷον, γένος ὁ σωκράτης ἄρα γένος.
ὁ δὲ πρὸς τὸ ἐπόμενον, ὡς ἀντιτρέφοντας λαμβάνει τοὺς ὅρους, καὶ γίνεται ὅ-
ταν καὶ τὰ μὴ ἀντιτρέφοντα ὡς ἀντιτρέφοντα λαμβάνηται. ἐπεὶ δὴ γὰρ ἕπε-
ται τῷ κλέπτῃ τὸ νύκτωρ πραγματεύεσθαι· ἀντιτρέφοντες οἱ σοφισταὶ λέγουσι, καὶ
ὁ νύκτωρ πραγματόμενος κλέπτης ἐστί· καὶ ἐπεὶ δὴ τὸ μέλι ξανθόν ἐστι, καὶ τὸ ξανθὸν
μέλι εἶναι φασί· καὶ κατὰ τοῦτο, τὸν σοφισμὸν συμβαίνει γίνεσθαι· οὐκ ἀνάγκη
δὲ ὁ μοιχὸς καλλωπίζεται, καὶ τὸ καλλωπιζόμενον μοιχὸν εἶναι· πολλοῖς γὰρ
ταῦτα ὑπάρχει, λέγω δὲ καὶ τὸ νύκτωρ πραγματεύεσθαι καὶ τὸ καλλωπίζεσθαι. τὸ
δὲ κατηγορούμενον οὐκ ὑπάρχει· ἀλλὰ τοιαῦτα μὲν ἢ τ λεγόμενα διαιρεῖται τὰ δὲ
κατὰ τὴν λέξιν οὕτως ἔχει· ὅταν γὰρ μέλιτος ὄντος ἐξ ἀνάγκης ἕπεται καὶ τὸ ξαν-
θὸν. καὶ τινὸς ξανθοῦ ὄντος, οἷον ταῦρον εἶναι τὸ μέλι, καὶ γίνεται ὁ παραλογισμὸς ἐν
τούτῳ· συμβαίνει γὰρ εἶναι χολὴν τῶν ἐστὶ ξανθὴ, τὴν οὐχὶ καὶ μέλι· ὁ δὲ παρα-
λογιζόμενος οὕτως ἀπατᾶται· οὐχὶ τὸ μέλι, ξανθὸν ἐστί; ναὶ, ὡς καὶ τὸ ξανθὸν μέ-
λι. ἡ δὲ χολὴ ξανθὴ, ἄρα μέλι· καὶ διὰ τὴν δόξαν ἀπατᾶται ἐντοῦθεν πίπτοντα.
ἡ μὲν γὰρ γλυκὺς ἁπλᾶ μεβαίνεται τοῦ μέλιτος ὡς γλυκέος. ἡ δὲ ὄψις ὡς ξαν-
θοῦ. ἀφ' ὧν ἡ δόξα τὰ πάθη συνθεῖσα ἢ ὡς ἐν δοξαζούσα, ὁτωνοῦν ἐγκρα-
γεῖ ἡ ὄψις πρίτι ξανθὸν, καὶ ὁρᾷ τι χολοβαφὲς, δυθὺς καὶ μέλι τοῦτο εἶναι δο-
ξάζει· πάλιν ἐπειδὴ ἐξ ἀνάγκης ὄμβρου κατειλημμένου ἢ γῆ διάβροχος γί-
νεται· ὁτωνοῦν δυνάτος ἐκχύσεις γέννηται ὑετοῦ κατὰ φύσιν γενέσθαι ὁμοίο-
μεν· ἐντοῦθεν καὶ τὸν ἥλιον πολλάκις προϊόντα ἢ ὄψις εἰναι δοξάζει· διὰ τὸ ἔπε-
σθαι ταῖς τῆς ὄψεως φαντασίαις. οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς ῥητορικοῖς συλλο-

πρόταsις πρόβλημα

Quinta fallacia consequentiæ

χολὴ ξανθὴ

χολοβαφές

ἀναποδείκτως. καὶ
sine demõstratione.

Rhetorici syllogismi

γισμοῖς ἁ σημειώδεις ἀποδείξεις ἐκ τῶν ἑπομένων γίνονται. ἐπειδὴ γὰρ σημεῖον τοῦ μοιχοῦ τὸ καλλωπίζεσθαι ἐστὶ, καὶ τοῦ κλέπτου τὸ νύκτα πηρανᾶσθαι. ἕπεται γὰρ καὶ τῷ μοιχῷ τὸ καλλωπίζεσθαι, καὶ τῷ κλέπτῃ τὸ νυκτοπορεῖν. διὰ τοῦτο ἁ ῥητορικαὶ ἀποδείξεις ἐκ τῶν ἑπομένων γίνονται. ὁ γὰρ βουλόμενος δεῖξαι ὅτι μοιχὸς ἐστὶ, τὸ ἑπόμενον ἔλαβεν, ὅτι καλλωπιστής. καὶ ὁ τὸν κλέπτην ἐλέγξαι βουλόμενος, ὅτι νύκτωρ πηρανᾶται. τὸ δὲ πολλοῖς μὲν ταῦτα ὑπάρχει, ἤγουν τὸ καλλωπίζεσθαι καὶ τὸ νυκτοπορεῖν. τὸ δὲ κατηγορούμενον οὐκ ὑπάρχει, ἤγουν τὸ μοιχὸς καὶ τὸ κλέπτης, λύσις ἐστί. κατηγορούμενον δὲ λέγει τὸν μοιχὸν κατηγορούμενον τοῦ καλλωπίζεσθαι. τοῦ δὲ νυκτὸς, βαδίζειν τὸν κλέπτην, οὐχ ὡς ἀληθῶς κατηγορουμένων. εἴρηται γὰρ ὡς οὐκ ἀνάγκη ἀντιστρέφειν. ἀλλ' ὡς ὑπὸ τῶν σοφιστῶν ὡς κατηγορουμένων λαμβανομένων. ὁμοίως δὲ φησὶ ἐν τοῖς συλλογιστικοῖς ἤγουν τοῖς κατὰ συλλογισμὸν δοκοῦσι προβαίνειν λόγοις, οἷος δοκεῖ καὶ ὁ τοῦ μελίσσου εἶναι. οὗτος γὰρ δεῖξαι θέλων ὅτι ἐν ἐστὶ τὸ ὂν καὶ ἄπειρον κατεσκεύαζε τοῦτο διὰ τῆς σὺν ἀντιθέσει τάχα ἀντιστροφῆς λέγων, ὡς εἰ τὸ γενόμενον ἀρχὴν ἔχει. τὸ μὴ γενόμενον λοιπὸν οὐχ ἕξει ἀρχήν. εἶτα προσετίθει καὶ τὴν ἑτέραν πρότασιν, ὅτι τὸ μὴ ἀρχὴν ἔχον, ἄπειρον. ὡς εἶναι τοιοῦτον τὸ συλλογιζόμενον. τὸ ὂν οὐ γέγονε. τὸ μὴ γενόμενον, ἀρχὴν οὐκ ἔχει. τὸ μὴ ἔχον ἀρχὴν, ἄπειρον. τὸ ὂν ἄρα ἄπειρον. τούτου οὖν τοῦ λόγου πολλὰ μὲν καὶ ἄλλα τὰ ἀντιάματα ἐν τῷ α τῆς φυσικῆς ἀκροάσεως εἴρηται τῷ ἀριστοτέλει. ἀποδείχθη δὲ καὶ τὸ ἡ μαρτημένον ἡ σὺν ἀντιθέσει ἀντιστροφή. ταύτης γὰρ τῇ ἀναιρέσει τοῦ ἑπομένου καὶ τὸ ἡγούμενον ἀναιρούσης, οὐκ οὕτως ἐστὶ καὶ ἡ πρὸς τοῦ μελίσσου. εἰ μὲν γὰρ ἄνθρωπος ἐστὶν ἕπεται καὶ ζῶον εἶναι ἐξ ἀνάγκης. ζῴου δὲ μὴ ὄντος, οὐδὴ λον ὡς οὐδ' ἄνθρωπος. ἔχρην οὖν καὶ τὸν μέλισσον οὕτως ἀντιστρέψαι καὶ εἰπεῖν, ὡς εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ ἀρχὴν ἔχον οὐ γέγονεν. ὁ δὲ οὐχ οὕτω πεποίηκεν, ἀλλὰ τῇ ἀνδρέσει τοῦ ἡγουμένου σὺν ἀνείλε καὶ τὸ ἑπόμενον. ἀλλ' ἀνασκεπτέον αὖθις τὰ ῥητὰ κατὰ λέξιν. οἷον, ὁ μέλισσου λόγος ὅτι ἄπειρον τὸ ἅπαν ἐδείκνυε φησὶ ὁ μέλισσος, ὅτι ἄπειρον τὸ ἅπαν. τὸ δὲ ἐστὶ τὸ ὄν. τὸ γὰρ ἅπαν ἀντὶ ὄντος εἴληφεν. ἐδείκνυε δὲ τοῦτο λαμβάνων ὅτι τὸ ὂν ἀγένητον, ἤγουν τὸ ὂν οὐ γέγονε. καὶ τίθησι τὴν τούτου κατασκευήν. εἰ γὰρ τὸ ὂν λέγει τίς γενέσθαι, ἢ ἐξ ὄντος ἂν γένοιτο ἢ ἐκ τοῦ μὴ ὄντος. ἀλλ' ἐξ ὄντος μὲν γενέσθαι οὐκ ἐνδέχεται. τὰ αὐτὰ γὰρ καὶ πρὸς ἐκείνου ζητήσομεν. ὁμοίως δὲ ἀδύνατον καὶ ἐκ μὴ ὄντος εἰπεῖν γενέσθαι τὸ ὄν. διὰ τὸ κοινὸν ἀξίωμα εἶναι τῶν φιλοσόφων, μηδὲν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος γίνεσθαι, σὺν ἀγεται λοιπὸν τὸ ὂν ἀγένητον εἶναι. εἰ γοῦν τὸ γενόμενον ἀρχὴν ἔχει. τὸ μὴ γενόμενον ἀρχὴν οὐχ ἕξει. τὸ δὲ μὴ ἔχον ἀρχὴν ἄπειρον. πρὸς τοῦτο οὖν φησὶ ὁ ἀριστοτέλης ὡς οὐκ ἀνάγκη εἰ τὸ γενόμενον ἅπαν ἀρχὴν ἔχει, καὶ τὸ ἀρχὴν ἔχον γεγονέναι. τοιοῦτον δέ τινα νοῦν ἔχει τὸ λεγόμενον. ὁ μέλισσος τὸ μὴ γεγονέναι καὶ τὸ ἀρχὴν μὴ ἔχειν, ταυτὸν ἐνόμιζεν εἶναι, καὶ ἐξισάζειν καὶ ἀντιστρέφειν. ὑπήχθη δὲ εἰς ταύτην τὴν ἔνοιαν ἀπὸ τοῦ, καὶ τὸ γενόμενον καὶ τὸ ἀρχὴν ἔχον ταυτὸν οἴεσθαι καὶ ἀντιστρέφοντα. ὥστε εἰ πᾶν τὸ γενόμενον ἀρχὴν ἔχει, καὶ τὸ ἀρχὴν ἔχον γεγονέναι, ὁ ψεῦδος ἐστί. εἰσὶ γὰρ τινὰ ἀρχὴν μὲν ἔχοντα. μὴ γεγονότα δὲ καθ' ἕλληνας, ὡς τὰ οὐρανία καὶ θεῖα σώματα. εἰ γοῦν τοῦτο ψεῦδος, δῆλον ὡς οὐδὲ τὸ μὴ γενόμενον καὶ τὸ μὴ ἀρχὴν ἔχον, ταυτὰ εἰσόν. ὁ δὲ πρὸς τὸ μὴ αἴτιον ὡς αἴτιον, ὅταν προσληφθῇ τὸ ἀναίτιον. οὗτος ὁ τρόπος ἕκτος ἐστὶ τῶν ἐκτὸς τῆς λέξεως παραλογισμῶν. ὁ δὲ ἐνταῦθα πρὸς τὸ μὴ αἴτιον ὡς αἴτιον καλεῖ, τοῦτο ἐν τοῖς β τῶν προτέρων ἀναλυτικῶν, μὴ πρὸς τοῦτο ὠνόμασε. γίνεται δὲ τοῦτο ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς. ὅταν καὶ δίχα τῆς ὑποθέσεως οὐδὲν ἧττον παραίνηται τὸ ἀδύνατον. σὺν ἀγόντων τῶν σοφιστῶν τὸ τοιοῦτον ἀδύνατον καὶ λεγόντων, ὅτι διὰ τὴν ὑπόθεσιν ἡμῶν τῶν προσδιαλεγομένων αὐτοῖς τοῦτο γέγονε τὸ ἀδύνατον, μηδαμῶς τῆς ὑποθέσεως ἡμῶν αἰτίας οὔσης τοῦ συμβαίνοντος ἀδυνάτου. τότε γὰρ μάλιστα ἐστὶ λέγειν τὸ μὴ πρὸς τοῦτο. ἐστὶ δὲ δῆλον τὸ λεγόμενον ὧδε. εἴτις λέγει τὸ ζῶον παντὶ λευκῷ, καὶ ἡμῶν λεγόντων μὴ εἶναι ἀληθές. οὐ γὰρ πᾶν λευκὸν ζῶον ἐστί. πειρᾶται ἐλέγχειν ἡμᾶς, λέγων. εἰ γὰρ ψεῦδος τὸ παντὶ, ἐστὶν ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον. τὸ ζῶον οὐ παντὶ λευκῷ. ἔπειτα τῇ θέσει ταύτῃ τῇ λεγούσῃ τὸ ζῶον οὐ παντὶ λευκῷ δεικνὺς ἀδύνατόν τι ἑπόμενον, ψεῦδος μὲν εἶναι λέγει τὸ, τὸ ζῶον οὐ παντὶ λευκῷ. ἀληθὲς δὲ εἶναι εἰσάγει τὸ ὁ αὐτὸς ἔλεγεν, τὸ πᾶν λευκὸν εἶναι ζῶον. δείκνυσι δὲ τοῦτο οὕτω συλλογιζόμενος. τὸ ζῶον καθ' ἡμᾶς οὐ παντὶ λευκῷ. τὸ λευκὸν παντὶ πτηνῷ. τὸ πτηνὸν παντὶ κορακί. τὸ λευκὸν ἄρα παντὶ κορακί. ἀλλὰ μὴν τοῦτο ψεῦδος. ψευδὴς ἄρα καὶ ἡ ὑπόθεσις ᾗ τὸ ἀδύνατον ἠκολούθησε. καὶ ἀφ' ἧς γέγονε τὸ ψεῦδος. ἦν δὲ λέγουσα ὅτι τὸ ζῶον οὐ παντὶ λευκῷ. ἀληθὲς ἄρα τὸ παντί. πρὸς τοῦτο ῥητέον, οὐ παρὰ τοῦτο. οὐ γὰρ πρὸς τὴν ὑπόθεσιν τὴν λέγουσαν τὸ ζῶον οὐ παντὶ λευκῷ, σὺν ἦκται τὸ λευκὸν παντὶ κορακί. ἀλλὰ πρὸς τὴν σὴν τὴν λέγουσαν τὸ λευκὸν παντὶ πτηνῷ. ἀφαιρεθείσης γὰρ τῆς ὑποθέσεως ἡμῶν τῆς ὡς ἐλέγετο αἰτίας γενομένης τοῦ ἀτόπου, πάλιν τὸ ψεῦδος σὺν ἀγεται. δείκνυσι δὲ καὶ αὐτὸς ὅπως οὐ γίνεται. πρὸς τὴν ὑπόθεσιν ἡμῶν τὸ ψεῦδος. ἄλλα πρὸς τὴν τῶν σοφιστῶν, καὶ ἀντὶ παραδείγματος τινός. ἐστὶ δὲ τὸ λεγόμενον τοιοῦτον. λέγει τίς ἀληθῶς ὅτι ἡ ψυχὴ καὶ ἡ ζωὴ ταυτὸν τῷ αἰτίῳ. πειρᾶται οὖν ὁ σοφιστὴς δεικνῦναι τὸ ψεῦδος τοῦτο καὶ φησί. εἰ ἐστὶν ἡ ψυχὴ καὶ ἡ ζωὴ ταυτὸν τῷ αἰτίῳ. εἶτα πειρᾶται δεικνύναι ἀδύνατόν τι τοῦτον τὸν τρόπον. εἰ γὰρ ἡ φθορὰ λέγων καὶ ἡ γένεσις ἐναντία, καὶ τῇ τινὶ φθορᾷ ἔσται τίς γένεσις ἐναντία. τίς δὲ φθορὰ ὁ θάνατος ἐστίν. ὥστε ἐστὶ καὶ τῷ θανάτῳ τινὶ ὄντι φθορᾷ ἐναντία τίς γένεσις. οὐδὲν δὲ ἄλλῳ τῷ θανάτῳ ἐναντίον ἢ ζωή. ἡ ζωὴ ἄρα γένεσις. εἰ δὲ καὶ ἡ ζωὴ γένεσις, καὶ τὸ ζῆν γίνεσθαι. ὥστε καὶ τὸ ζῶον ᾗ ζῇ γίνεται. ἀδύνατον δὲ τῷ ζῶῳ ᾗ γίνεσθαι. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατος καὶ

Melissus

Aristote

τὸ ἅπαν ἀντὶ τοῦ ὂν εἴληφε

ἀξίωμα κοινόν

μηδὲν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος γίνεσθαι

Sexta fallacia nō causa ut causa. optime enucleata & ut dignum erat tāto uiro

Exemplum alexandri

Exemplum aristotelis

ἡ ὑπόθεσις παρὰ τοῦτο γίνεται. ἦν δέ ἡ λέγουσα ὅτι ἡ ψυχὴ καὶ ἡ ζωὴ ταυτὸν τῷ
ἀνθρώπῳ. οὐκ ἔστιν ἄρα ἡ ψυχὴ καὶ ἡ ζωὴ ταυτόν· φαμὲν οὖν πρὸς τοῦτο, ὅτι οὐ πρὸς
τοῦτο· οὐ γὰρ πρὸς τὸ λέγειν ἡμᾶς, τὴν ψυχὴν καὶ τὴν ζωὴν ταυτὸν, σῶμα ἔχον τὸ ζῷ-
ον ἢ ζῆν γίνεται· ἐπεὶ καὶ τούτου μὴ κειμένου, οὐδὲν ἧττον διὰ τῶν λοιπῶν προ-
τάσεων τὸ ἀδύνατον συμβήσεται. ἀνὰ τὸ ἀδύνατον συμβαίνει πρὸς τὸ λέγειν
σὲ τὴν ζωὴν ἐναντίαν τῷ θανάτῳ ὄντι φθορᾷ· ἡ γὰρ φθορὰ οὐ τῇ ζωῇ ἐναντία ἐστίν,
ἀλλὰ τῷ ἐμψύχῳ σώματι. τῇ δὲ ζωῇ ἡ διάλυσις ἐστὶν ἐναντία. ἡ διάλυσις δὲ οὐ
τοῦτον τῇ φθορᾷ· οὐ γὰρ ἀναγκαῖον τὰ διαλυόμενα καὶ ἀπ' ἀλλήλων χωριζόμενα
φθείρεσθαι· ἰδοὺ γὰρ τῆς δίεξυσμένης ἀπ' ἀλλήλων τὰ ἐξ ὁρίου καὶ ἐξ σπερῶν νή-
ματα ἀλλήλοις συνημμένα καὶ κεκλωσμένα. ἡ δὲ τούτων διάλυσις οὐκ ἤδη γέ-
γονεν αὐτοῖς καὶ ἀπὸ φθορᾶς πάλιν ἐστὶ πάντων τοῦ σπορᾶ διακρίνειν τὸν ὁποτέρου καὶ
τὴν κρίθην, ἀλλήλοις ὄντα συμπεφυρμένα· διάλυσις μὲν καὶ διάκρισις ψυχῆς
καὶ σώματος ἀπ' ἀλλήλων οὐκ ἂν εἴη θάνατος φθορά· ὅτι δὲ θάνατος ταυτὸν
ἐστὶ τῇ φθορᾷ δῆλον καὶ ἐκ τοῦ θνήσκειν μὲν λέγεσθαι τὰ ζῶντα, φθείρεσθαι δὲ
τὰ νεκρὰ καὶ ἄψυχα τῶν σωμάτων. εἰ δὲ ἦν ὁ θάνατος καὶ ἡ φθορὰ ταυτὸν, ἅμα
τῷ χωρισθῆναι τὴν ψυχὴν τὸ σῶμα ἐφθείρετο ἂν ὑπὸ σώματος. νῦν δὲ οὐκ ἐστὶ τοῦ
πολλοῦ μέχρι πολὺ ἡ φθορὰ τὸ σώματος γίνεται· τὰ μὲν λεγόμενα οὕτως ἔχειν τὸ
δεικνύουσι κατὰ πάντα ἐν τοῖς ἀναγκαίοις ὁρωτήμασι πρὸς τοῦ συμβαίνοντος
τὸ συμβαῖνον ἀδύνατον, τοιοῦτον ἐστὶν· ἐὰν ἐν τοῖς ἀναγκαίοις ὁρωτήμασι,
τουτέστι ταῖς παρὰ τὸ ὁρίζοντος λεγομέναις προτάσεσι· ταύτας γὰρ ἀναγκαῖα
λέγει ὁρωτήματα, οὐδὲ ὅπως ἀναγκαῖόν τι σῶμα γενήσεται· ἀλλ' ὅπως τούτων μὴ ληφθέν-
των οὐκ ἂν σώζηται τὸ προκείμενον ἀδύνατον. ἐὰν οὖν ἐν ταῖς τοιαύταις τοῦ ὁρί-
ζοντος προτάσεσιν ἐγκαταμίσχῃ πρὸς αὐτοῦ δὴ τούτου τοῦ σοφισοῦ πρὸς τὸ ἐπε-
χεῖναι παρὰ τοῦτο τὸ συμπέρασμα τὸ συμβαῖνον ἀδύνατον· τοιοῦτόν ἐστιν ἡ φθο-
δὴς πρότασις ἡ ἀπὸ γινομένη τοῦ συμβαίνοντος ἀδύνατον. διὰ ταύτης γὰρ πάντα
νεται τὸ τοιοῦτον ἄτοπον. δόξει πολλάκις πρὸς τοῦτο γίνεσθαι ὁ ἔλεγχος, ἐὰν μὴ
δὴ καὶ ἐνταῦθα γέγονε συγκατεμίσχη γὰρ τοῖς ἀναγκαίοις ὁρωτήμασι τὸ, ἡ
ζωὴ ἐναντία τῷ θανάτῳ ὄντι φθορᾷ· οὐ γάρ ἐστιν ὡς εἴρηται ὁ θάνατος φθορά, ἀνὰ
διάλυσις ψυχῆς καὶ σώματος· συγκατεμίσχη οὖν τοῖς ἀναγκαίοις ὁρωτήμασι
τὸ, ὁ θάνατος καὶ ἡ φθορὰ ταυτόν, οὗ ληφθέντος σώζηται καὶ ἡ ζωὴ γένεσις, καὶ
τὸ ζῆν γίνεσθαι, καὶ τὸ ζῶον εἶναι γίνεσθαι. τοὺς τοιούτους δὲ συλλογισμούς, ἀ-
συλλογίστους μὲν ἁπλῶς φησι μὴ εἶναι τουτέστι καθόλου· πρὸς δὲ τὸ προκείμενον
ἀσυλλόγιστος, ὅπου συλλογίζονται διὰ τὸ ψευδεῖς τὰς προτάσεις
λαμβάνειν. κατὰ τοῦτο γοῦν εἰσὶν ἀσυλλόγιστοι. τὸ δὲ λαμβάνειν πολλάκις οὐχ
ἧττον αὐτοὺς τοὺς ὁρωτῶντας τοιοῦτον ἐστίν. ὅπου μόνον οἱ ἀποκρινόμενοι οὐκ λαμ-
βάνουσι καὶ νομίζουσι τὰ μὴ ταυτὰ ὡς ταυτὰ, καὶ τοὐμπαλιν ἀπάτῃ ὑπάγονται
καὶ σοφίζονται· ἀλλὰ καὶ οἱ ὁρωτῶντες αὐτὰ τοῦτο πάσχουσιν ὡς καὶ ὁ πωλῶν

ζωὴ διάλυσις
ἐστὶν ἐναντία
τῇ φθορᾷ.

Mortẽ nó esse con
ruptionem sed
dissolutionem

ἡ. ἐγκαταμίσχῃ.

Δ ἀσυλλογίστους

ἡ. πρὸς

τὴν βούλησιν καὶ τὴν δόκησιν ταυτὸν νομίζων ὡς ἐν οὖν τῶν ἠρωτηκότων σωκράτην
" τὴν. εἰ δὲ παρὰ τὸ δύο ὁρωτήματα ἓν ποιεῖν, ὅταν λανθάνῃ πλείω ὄντα, "
" καὶ ὡς ἑνός· ἑβδομος καὶ τελευταῖος τρόπος τῶν ἐκτὸς τῆς λέξεως σοφισμά- "
των ἐστίν, ὁ πρὸς τὰ δύο ὁρωτήματα ἓν ποιεῖν· λέγεται δὲ οὕτως, ὅ περ ἔκαστον τῶν
ὑποκειμένων καὶ πρὸς ὧν ὁ λόγος ἐστὶν, ἰδίας ὁρωτήσεως δεόμενον, οὐ ποιεῖ τοῦτο·
ταυτὸ ἰδία καὶ ἰδία ἐρωτᾶν. ἀνὰ συμμίξας τὰ διαφορα ὑποκείμενα καὶ ὡς πρὸς
ἑνὸς ὁρωτῶν ἀπατᾷ τὸ ἀποκρινόμενον, ὅταν καὶ αὐτὸς τὴν ἀποκρισιν ὡς ἑνὸς
ὄντος τοῦ ὑποκειμένου δοίη. ὡς ἐπὶ τοῦδε τοῦ σοφίσματος, ὁ δεῖνα σωκράτην καὶ
πλάτωνα τύπτει. ὁ σωκράτης καὶ ὁ πλάτων ἄνθρωπος ἐστιν. ὁ δεῖνα ἄρα ἄνθρω-
πον ἀνθρώπους τύπτει. τοιοῦτον τι ποιεῖ καὶ ὁ πωλος ἐν τῷ γοργίᾳ Plato
πλείω ὡς ἐρωτήσας τὸν σωκράτην. ἦν δὲ ἐρώτησις τοιαύτη εἰ τὰ μείω σω-
κράτης. οὐ δοκοῦσί σοι οἱ ῥήτορες ὥσπερ καὶ οἱ τύραννοι ποιεῖν ἃ ἂν δοκῇ αὐ-
τοῖς, καὶ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τὰ μείω γὰρ ἐνταῦθα ἠρώτησεν ὡς ἐν
ὁ πωλος. ἄλλο γὰρ βούλησις καὶ ἄλλο δόκησις. ὃν ὁ σωκράτης ἐπέπληξε μείο-
νας ἅμα ὁρωτήσεις ὁρωτήσαντα. ὡς τὴν διαφορὰν τῆς βουλήσεως καὶ τῆς
δοκήσεως ἀγνοήσαντα, καὶ ὡς ἑνὸς ὄντων μίαν τὴν ὁρώτησιν ποιησάμενον. ἐπὶ
ἐνίων μὲν οὖν φησι ῥᾴδιον ἐστιν ἰδεῖν ὅτι δύο τυγχάνει τὰ ὁρωτήματα. ἐδεῖ γὰρ
οὕτως ὁρωτῆσαι, πότερον ἡ γῆ θάλαττά ἐστιν ἢ τοὔμπαλιν, πότερον ὁ οὐρανὸς θάλατ-
τα ἐστίν. ἐπὶ ἐννίων δὲ φησὶ οὐκ ἐστὶ ῥᾴδιον εἰδέναι ὅτι πλείω τὰ ὁρωτήματα ἐστίν.
καθάπερ ἔχει ἡ τοῦ πώλου ὁρώτησις ἡ προειρημένη. καὶ διὰ τὸ μὴ ἔχειν δῆλον ὅτι
πλείω εἰσὶ τὰ ὁρωτώμενα, ἢ ὁμολογοῦσι τῷ μὴ ἀποκρίνεσθαι τὸ ὁρωτώμενον, ἢ
" ἐλέγχεσθαι φαίνονται τοιοῦτον δέ ἐστι τὸ λεγόμενον· οἱ ὁρωτῶμενοι τὴν τοιαύ- "
" τὴν ὁρώτησιν, ἢ ὁμολογοῦσι μὴ ἀποκρινόμενοι τὸ ὁρωτώμενον, φαῦλοι κοινωνοί "
ἄμα ὡς ἐμπροσθίζοντες τὸ κοινὸν ὁρώτημα, ὡς ἂν ἐξῆν λαμβανόμενον τὸ, εἶναι
φαύλοις κοινωνοί· ὁμολογοῦσι γὰρ φαῦλος ἄμα κοινωνὸς τὸ μὴ ἀποκρίνεσθαι τὸ
ὁρωτώμενον, ἢ τῷ ἀποκρίνεσθαι φαίνονται ἐλεγχόμενοι ἔστι καὶ οὕτω νοῆσαι τὸ
λεγόμενον. οἱ ὁρωτώμενοι ἢ οὐδὲν ἢ ἀποκρίνονται καὶ ὁμολογοῦσι διὰ τῆς σιω-
πῆς, πρόπου τινά· ἢ γὰρ σιωπᾶν δηλοῖ τὸ ναί, τὸ τῆς συγκαταθέσεως πρόσρημα,
" ἢ ἀπόκρισιν δίδοντες ἐλέγχεσθαι φαίνονται· τὸ δὲ ἢ πάλιν ὧν τὰ μὲν ἔστιν ἀγα- "
" θὰ τὰ δὲ οὐκ ἀγαθά· πάντα ἀγαθὰ ἢ οὐκ ἀγαθά· καὶ τοῦτο παράδειγμα ἐστὶ τοῦ "
τὰ μείω ὡς ἐρωτῶντος. εὐθὺς οὕτως εἰπεῖν, πότερον ἡ σωφροσύνη ἀγαθὸν ἢ
φαῦλον· καὶ πότερον ἡ ἀκολασία ἀγαθὸν ἢ φαῦλον· ὁ δὲ μίξας ἀμφότερα καὶ ὡς
πρὸς ἑνὸς ἐρωτήσας, οὐκ ἀδήλου ὅπως ἀπαλλήσεται τοῦ ἀποκρινομένου. εἶτα σὺν τῷ
χρεὼν τὴν ὁρώτησιν καθαφῆσαι ἢ ἀποφῆσαι. εἰ γὰρ ὁρωτηθείς πότερον ἡ σωφροσύ-
νη καὶ ἡ ἀκολασία ἀγαθὸν ἐστὶν ἢ φαῦλον, εἶτα ὁ πάγαθον, συμβήσεται τὴν ἀκο-
λασίαν μὴ οὖσαν τ' ἀγαθὴν, εἶναι ἀγαθόν. εἰδ' ἀποφήσαι, συμβήσεται πάλιν τὴν
σωφροσύνην οὖσαν τ' ἀγαθὴν μὴ εἶναι ἀγαθόν. καὶ πρότερον οὕτω φησὶ γίνεσθαι

Septima falla
cia & ultima
ex duabus in
terrogationib⁹
unam facere

ἡ σιωπᾶν δηλοῖ τὸ ναί

φαινόμενον ἔλεγχον ἐκ τοῦ μόνον φησὶ καὶ ἀπὸ φησὶ ἐν τῷ ὅρῳ τὸ δὲ τῷ τὰ πλείω
ως ἐν συνδαιομένῳ. τὸ γὰρ φαίνεται μὴ ἀγαθῶν τι, ἆρα ἀγαθόν. ἢ τὰ ἀγαθῶν τι, μὴ
ἀγαθὸν, ψεῦδος. πρὸς δὲ συμβήσεται καὶ ἔλεγχον γενέσθαι ἀληθινὸν πρόσλη
φθεν τοῦ πυῶν. οἷον ἅπας ὅρος τινός, ἆρα τοῦ ἐφ' ἑνὸς τοῦ καὶ ἐπὶ πολλῶν. καὶ τὸ λαβὼν
προσλαβεῖν ἐστὶ τυφλὸν ἐστὶ τὸ μὴ ἔχον ὄψιν, πεφυκὸς δὲ ἔχειν. καὶ τυφλὰ
ἔστι τὰ μὴ ἔχοντα ὄψιν πεφυκότα δὲ ἔχειν. καὶ εἰ λευκὸν ἐστὶ τὸ ἔχον χρῶμα
διακριτικὸν ὄψεως, καὶ λευκὰ ἐστὶ τὰ ἔχοντα χρῶμα διακριτικὸν ὄψεως. καὶ
γὰρ ἐπὶ τούτων οὐ μία ἐστὶν ἡ ὄρωτησις. τὸ γὰρ ἆραγε εἰ τυφλόν ἐστιν τὸ μὴ ἔχον
ὄψιν πεφυκὸς δὲ ἔχειν, καὶ τυφλά ἐστὶ τὰ μὴ ἔχοντα ὄψιν πεφυκότα δὲ ἔχειν
οὐκ ἐστὶν ἓν ὄρώτημα. ἐπεὶ γὰρ ἐκεῖνο ἐστὶ τυφλὸν ὃ πεφυκὸς ὄψιν ἔχειν
οὐκ ἔχει. οἷον τὸ διὰ πήρωσιν ἔχον τὴν ὄψιν. τὸ δὲ μήπω πεφυκὸς ἔχειν ὄψιν,
ὡς τὸ σκυλάκιον, κατὰ χρῆσιν φασὶ τυφλόν. οὕτω γὰρ ταύτην πεφυκέναι
ἔχειν, ὡς οὐκ ἂν εἴη διαφορὰ ὄρωτῶν ὁ λέγων. ἆραγε εἰ τυφλόν ἐστὶ τὸ μὴ ἔ
χον ὄψιν, πεφυκὸς δὲ ἔχειν, καὶ τυφλά ἐστὶ τὰ μὴ ἔχοντα ὄψιν πεφυκότα δὲ
ἔχειν. εἰ γὰρ τὸ μὲν ἓν ἐστὶ τυφλὸν διὰ πήρωσιν, ὃ καὶ τυφλὸν εἰπεῖν ἀληθές ἐστίν.
τὰ δὲ διὰ μήπω πεφυκέναι ἔχειν, ἃ καὶ καταχρώμενοι φαμὲν τυφλὰ ὡς ἐπὶ
τὸ σκυλακίων. οὐ γὰρ ἀληθὲς ἐστὶν εἰπεῖν ὅτι τυφλά. δύο οὖν οὐσῶν τῶν ὄρωτή
σεων, οὐ μία ἐστὶ πρὸς τοῦτο ἀπόκρισις. εἰ δέ τις σὺν ἁρπαγῇ θείη ὑπὸ τὴν ὄρωτή
σεως καὶ ὡς μιᾶς οὔσης τῆς, εἰπὼν ὅτι ναὶ τυφλά ἐστί, ὅταν τὰ μὲν σκυλάκια
βλέπειν, τὰ δὲ μή. οὐ γὰρ δυνατὸν ἐστὶ τὸ πεπηρωμένον βλέπειν, ἔσονται πάν
τα ὁρῶντα ἢ πάντα τυφλά. διὰ τίνα γὰρ λόγον ἐρεῖ αὐτῷ σοφιστὴς πρὸς τὸν ἀπορι
νόμενον. τὰ μὲν ἐστὶν ὁρῶντα τὰ δὲ μὴ ὁρῶν. ἐπεὶ γὰρ ἀμφότερα ἔφησας ἆραι τυ
φλὰ μὴ ἔχοντα ὄψιν, πεφυκότα δὲ ἔχειν, ἢ ἀμφότερα ἀνάγκη ὁρᾶν, ἢ μηδέτε
ρον. τὸ δὲ τοιοῦτον σόφισμα οὐ μόνον γέγραπται πρὸς τὰ δύο ὁρότημα ὡς ἐν
ὁρωτηθῆναι, ἀλλὰ καὶ πρὸς τὴν ἔλλειψιν τοῦ κυρίως καὶ ἀληθῶς ἐλέγχου. εἴρηκε γὰρ
ἐν αὐτῷ μᾶλλον τῶν ἄλλων, καὶ ὅπου δεῖ λαβεῖν ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. τοῦτό
ἐστιν ὃ ἐρωτόμενον μὴ ἆραι τοιοῦτον, ὡς τὸν μὲν ὁρῶντα ἄλλου χρόνου λαμβά
νειν τὸ ὑποκείμενον. τὸν δὲ ἀποκρινόμενον ἕτερου. τοῦτο δέ ἐστι καὶ ἐνταῦθα. οὐ
γὰρ πᾶν τὸ πεφυκὸς ἔχειν ὄψιν καὶ μὴ ἔχον τυφλόν ἐστί, ἀλλὰ τὸ μὴ ἔχον ὅπερ
πεφυκὸς ἔχειν. ἢ δὴ οὕτω διαιρετέον τοὺς φαινομένους. εἰσὶν δὲ δύο εἴδη ἆραι
τῶν παραλογισμῶν, καθ' οὓς φαίνονται ἐλέγχειν οἱ σοφισταὶ τοὺς ἐντυγχάνον
τας, καὶ διδάξας ὅσοι τε καὶ τινὲς οἱ τρόποι οἱ ὑπὸ τὰ εἴδη ταῦτα τῶν σοφισμῶν
τελοῦντες, καὶ τὸ μὲν, τὸ παρὰ τὴν λέξιν ὀνομάσας. τὸ δ' ἐκτὸς τῆς λέξεως. καὶ
τοὺς μὲν πρὸς τὴν λέξιν τρόπους σοφιστικοὺς, ἐξ ἆραι παραδοὺς, ὁμωνυμίαν. ἀμ
φιβολίαν. σύνθεσιν, διαίρεσιν. προσῳδίαν. σχῆμα λέξεως. τοὺς δ' ἐκτὸς τῆς λέξεως
ἕνεκα ἆραι σαφέστατα ἐκθέμενος. τὸν παρὰ τὸ συμβεβηκός. τὸν πρὸς τὸ ἁπλῶς ἢ
πῆ καὶ μὴ κυρίως λέγεσθαι μεμιέρθαι τὸν πρὸς τὸν διορισμὸν τοῦ συλλογισμοῦ καὶ ἐλέγ
χου

Tredecim ée falla
cias. Sex dictio
nis. & septé ex
tra dictioné

τὸν πρὸς τὸ ἐν ἀρχῇ λαμβάνειν. τὸν πρὸς τὸ ἑπόμενον. τὸν παρὰ τὸ μὴ αἴτιον ὡς
αἴτιον. καὶ τὸν πρὸς τὰ δύο ὁρότημα τὸ ἓν ποιεῖν. νῦν λέγει ὅτι. ἢ οὕτω διαι
ρετέον τοὺς σοφιστικοὺς ἐλέγχους. καὶ λεκτέον ὅτι οἱ μὲν εἰσὶ πρὸς τὴν λέξιν. οἱ
δὲ ἐκτὸς τῆς λέξεως. καὶ οἱ μὲν πρὸς τὴν λέξιν ἐξ ὧν εἰσὶν. οἵδε οἱ δὲ ἐκτὸς τῆς
λέξεως ἑπτά τυγχάνοντες εἰσὶν οἵδε. ἢ πάντας τοὺς φαινομένους συλλογισ
μοὺς καὶ ἐλέγχους ἀνακτέον εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. καὶ λέγει πῶς ἀνα
χήσονται. μᾶλλον δὲ αὐτὸς ἀναγει πάντας. ἐπειδὴ γὰρ ἔλεγχός ἐστιν ὡς εἴρη
ται τοῦ αὐτοῦ καὶ ἑνὸς μὴ ὀνόματος ἀλλὰ πράγματος, καὶ ὀνόματος μὴ συ
νωνύμου, ἀλλὰ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου ἐκ τῶν δοθέντων τῷ ἀποκρινομέ
νῳ, μὴ σιωπᾶν μόνον τὸν ἐν ἀρχῇ, καὶ κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ καὶ ὡ
σαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ὁ ταῦτα ἀγνοήσας, ἢ τι τούτων ἐξ ἀνάγκης πά
σχειν τῷ ψεύδει καὶ ἀπατηθήσεται. ἐπεὶ οὖν ὡς εἴρηται ἔλεγχός ἐστὶ
συλλογισμὸς ἀντιφάσεως. ὁ δὲ συλλογισμὸς ἐκ τῶν κειμένων ἐστίν, ὁ ἀγνόων
ὁ πότερον ἐστὶ συλλογισμὸς, καὶ ὅτι ἐκ τῶν κειμένων δεῖ συμβαίνειν τὸ συμπέ
ρασμα ἀπατηθήσεται πρὸς τοῦ μὴ συλλογιζομένου, μὴ δὲ ἐκ τῶν κειμένων σύναι
γοντος τὴν δοκοῦσαν ἀντίφασιν. τοιοῦτοι δ' ἂν εἶεν οἱ μὴ ἐκ τῶν κειμένων σύναγον
τες τὴν ἀντίφασιν, οἱ τὸ μὴ αἴτιον ὡς αἴτιον, παραλαμβάνοντες παραλογισ
μοὶ καὶ οἱ ἐν ἀρχῇ αἰτοῦντες. καὶ οἱ πρὸς τὸ ἑπόμενον. πρῶτον μὲν οὖν φητέον ἀνάγ
καῖον εἶναι πάντας οἱ παραλογισμοὶ εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ὡς ἀσυλ
λογίστου καὶ μὴ ἐκ τῶν κειμένων σύναγοντες. ὅπερ ἐστὶν ἴδιον τοῦ κυρίως συλλο
γισμοῦ. ἐπειτα ἀναχήσονται πάντες οὗτοι καὶ εἰς τὰ μέρη τοῦ ὁρισμοῦ τοῦ ἐλέγ
χου. καὶ δεικτέον ὡς πρὸς τὴν ἔλλειψιν τινὸς τῶν ἐν τῷ ἐλέγχῳ τὸ σόφισμα
συνίσταται, ἢ πρὸς τὸ ὁμώνυμον ληφθῆναι ἢ παρὰ τὸ ἀμφίβολον, ἢ ἕτερόν τι.

τῶν μὲν γὰρ ἐν τῇ λέξει οἱ μὲν εἰσὶ πρὸς τὸ δι πολύ. ἆραι δ' ἂν τι τῶν παραλογισμῶν ἑ
κάστῳ ἀναχήσεται εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. καὶ ἁπλῶς μὲν ἐν ἑφίστων ἁπλῶς
λέγχου τοὺς παραλογισμοὺς, τὸ μὴ ἐκ τῶν κειμένων αὐτοὺς συνάγεσθαι. ὅ
περ καὶ ἐν τῷ διορισμῷ τοῦ ἐλέγχου εἴρηται. νῦν δὲ καὶ παρ' ἕκαστον τῶν μερῶν
τοῦ ἐλέγχου γίνεσθαι τοὺς διδάσκει, καὶ πρότερον, τὸν ἐκ τῆς ὁμωνυμίας
φησὶ γίνεσθαι πρὸς τὸ μὴ ἓν ἆραι τὸ ὄνομα καὶ τὸ πρᾶγμα, καὶ τὸν ἐκ τῆς ἀμ
φιβολίας. τούτους γὰρ ἐδήλωσεν διὰ τὸ, ἢ τε ὁμωνυμία καὶ ὁ λόγος. οὗτοι δὲ οὖν
καὶ ἡ ὁμοιοσχημοσύνη τῆς λέξεως τουτέστιν οἱ παρὰ τὸ σχῆμα τῆς λέξεως, ὅτι
πρὸς τὴν τοῦ ἐλέγχου ἄγνοιαν γίνονται, δῆλον. κεῖται γὰρ τὸν ἔλεγχον ἆραι τοῦ
αὐτοῦ καὶ ἑνὸς μὴ ὀνόματος, ἀλλὰ πράγματος. οἱ δὲ ἐκ τῆς ὁμωνυμίας καὶ ἀμ
φιβολίας ἐξ ὀνόματων ἢ καὶ λόγων οὐχ ἁπλῶν ἀλλὰ διαφορᾶσημαινόντων. ναὶ
μὴν καὶ ἡ ὁμοιοσχημοσύνη. τὸ, τε γὰρ μανθάνειν δύο σημαίνει καὶ ὁμώνυμον, ἀλλ'
καὶ ὁ ἀμφίβολος λόγος, ὃ ὁρᾷ τις, τοῦτο ὁρᾷ, λέγων, δύο παρεμφαίνει, τόν τε
ὁρῶντα καὶ τὸ ὁρώμενον. καὶ τὸ ἐνεργεῖν πρὸς τὴν μάθησιν. δύο ταῦτα δῆλο.

ὡς εἴρηται. πάθους γὰρ ἐστὶ καὶ ἐνεργείας σημαντικόν. ὅπερ ἐστὶ τοῦ παρὰ τὸ σχῆ-
μα τῆς λέξεως συλλογισμοῦ, δῆλον οὖν ὡς εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν καὶ οἱ
τρεῖς οὗτοι ἀναχήσονται. ὅτι οὐ πράγματος εἰσὶν ἑνός. δεῖν δὲ τὸν συλλογιζό-
μενον καὶ ἔλεγχον ποιῆσαι βουλόμενον τὸ αὐτὸ καὶ ἓν πρᾶγμα μεταλαμβά-
νειν. τὸ δὲ σύνηθες γὰρ τὸ πάντα ὡς τὸ δέ τι σημαίνειν, περὶ τῆς ἀμφιβολίας δο-
κεῖ εἰρῆσθαι, οὐ περὶ τοῦ περὶ τὸ σχῆμα τῆς λέξεως παραλογισμοῦ. ὃν ὁμοιοσχη-
μοσύνην ὡς εἴρηται ἐν ταῦθα λέγει. σύνηθες γὰρ σιγῶντα λέγειν μὴ μόνον τὸν σι-
γῶντα, ἀλλὰ καὶ τὰ σιγώμενα. καὶ ὁρῶντα, τόν τε ὁρῶντα καὶ τὰ ὁρώμενα ἐπή-
γαγε δὲ τοῦτο ἀναμιμνήσκων τοῦ ἔμπροσθεν εἰρημένου. ὅτι εἷς τρόπος τῶν πα-
ρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν. καὶ οὗτος ὅταν εἰωθότες ὦμεν οὕτω λέ-
γειν. καὶ ἡ ἀπὸ τῆς συνθέσεως φησὶ καὶ τῆς διαιρεσέως ἀπάτη. εἰς τὴν τοῦ ἐ-
λέγχου ἄγνοιαν ἀναχήσεται. δεῖ γὰρ ἀεὶ τοῦ κυρίως ἐλέγχου τὸ αὐτὸ δηλοῦ-
σθαι καὶ χωρὶς καὶ μετὰ τῆς συνθέσεως. ὅπερ ἀεὶ τῆς συνθήσεως καὶ τῆς διαιρε-
σέως συμβαίνει. ἀεὶ ἕτερον μὲν ἐστὶ τὸ χωρὶς ὑπὸ τῶν ὀνομάτων ἢ ῥημάτων δη-
λούμενον. ἕτερον δὲ τὸ ὑπὸ τῆς τούτων συνθέσεως. τὰ γὰρ γράμματα χωρὶς, καὶ
τὸ ἐπίσταται χωρὶς, οὐ ταυτὸν σημαίνει. καὶ συντεθέντα ὡς ἀεὶ τοῦ γράμμα-
τος ἐπίσταται. ἀλλὰ καὶ ὁ σωκράτης κάθηται, ὁ καθήμενος δύναται βαδίζειν.
ὁ σωκράτης ἄρα βαδίζει, οὐ ταυτὸν σημαίνει ὥσπερ εἴρηται καὶ πρότερον. ταῦ-
τα εἰπὼν λέγει τὴν ἀντίαν δι' ἣν ἀναχήσονται οἱ προειρημένοι παραλογισμοὶ
εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. ἔστι δὲ αὕτη, τὸ μὴ τὸ αὐτὸ σημαίνει τὸ ὁμώνυμον
καὶ τὸν ἀμφίβολον λόγον. νοηθήσεται δὲ καὶ περὶ τῆς συνθέσεως καὶ διαιρέσεως
τοῦτο εἰρῆσθαι. ὅτι εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν οὗτοι ἀναχήσονται. περὶ τὸ μὴ
ταυτὸ σημαίνειν. τὸ γὰρ βαδίζει καὶ τὸ δύναται βαδίζειν. ναὶ μὴν, καὶ τὸ οὐ
καταλύεις, καὶ τὸ οὐ καταλύεις, οὐ ταυτὸν σημαίνει. ὁ γὰρ ἀμφίβολος λόγος
καὶ τὸ ὄνομα τὸ διαφόρον οὐ ταυτὸν σημαίνουσι, χρεὼν δὲ εἶναι καὶ τοῦτο ἤγουν
τὸ ὄνομα μὴ διάφορα σημαίνειν. ὥσπερ γὰρ τὸ πρᾶγμα ἓν καὶ ταυτὸν εἶναι δεῖ,
εἰ μέλλει ἔλεγχος γενέσθαι. οὕτω καὶ τὸ ὄνομα οὐ πολλῶν εἶναι δηλωτικόν. ὥσ-
περ γὰρ φησὶ οὐ γίνεται ἔλεγχος ἂν ἐπ' ἄλλου μὲν πράγματος ὁ ἐρωτώμε-
νος καταφήσῃ. ἐπ' ἄλλου δὲ τὴν ἀντίφασιν τὴν δοκοῦσαν συνάγει ὁ ἐρωτῶν.
οὕτω κἂν τὸ πρᾶγμα μὲν ἓν ᾖ, πολυώνυμον δὲ μὴ, ἀεὶ τοῦ αὐτοῦ δὲ ὀνόματος ἐφ'
οὗ κατέφησεν ὁ ἐρωτώμενος, συνάγη τὴν ἀντίφασιν ὁ ἐρωτῶν, οὐ δοκεῖ ἔλεγ-
χος ἀληθὴς γίνεσθαι, ἀλλὰ ἔτι ἐρωτήματος δεῖ, εἰ ταυτὸν ἐστὶν τοῦτο κἀκεῖνο.
οἷον εἴ τις οὕτω συλλογίζηται. πότερον καὶ σκύθαι καὶ οἱ ἄλλοι ἀνοῖ τὰ δυνα-
τὰ ὁρᾶν ὁρῶσιν ἢ τὰ ἀδύνατα. τὰ δυνατὰ δήπου. οὐκοῦν καὶ σὺ καὶ ἐγώ. ναί. ὁρᾶς
δὲ τὰ ἡμέτερα λώπια. ναί. δυνατὰ οὖν ὁρᾶν ἐστὶ ταῦτα. ὁρᾷ ἄρα τὰ ἡμέτερα ἱμά-
τια. ἀλλὰ καὶ οὐχ ὁρᾷ. ἀεὶ τούτου εἰ καὶ ταυτὸν ἐστὶ τὸ λόπιον καὶ τὸ ἱμάτιον. ἀλ'
ὅμως διὰ τὸ πολλοὺς τῶν ἀκουόντων ἀοριστάνειν, δεῖται ὁ λόγος ἐρωτήματος,

εἰ ταυτὸν ἐστὶ τὸ λώπιον τῷ ἱματίῳ. δεῖ οὖν ὥσπερ τὸ πρᾶγμα εἶναι ταυτὸν
καὶ ἓν εἰ μέλλει ἔλεγχος γενέσθαι ἢ ἔσεσθαι, οὕτω καὶ τὸ ὄνομα τὸ αὐτὸ καὶ
ἓν εἶναι, καὶ μὴ ἱματίου προκειμένου ἀποδεικνύναι λώπιον, ἀλλὰ ἱμάτιον. ἀλη-
θὴς μὲν γὰρ ὁ συλλογισμὸς ἐστὶ κἀκεῖνος ὁ αὐτὶ ἱματίου λώπιον συλλογισάμε-
νος. ἀλλ' ἐπειδὴ καὶ ἀγνοεῖτις ὅτι ταυτὸν ἐστὶ τὸ ἱμάτιον τῷ λωπίῳ, θροηθήσεται
οὐκ ἀπεικότως. καὶ τοῦθεν ζητήσει τὸ διατί, διὰ τοῦτο φησὶ μὴ συλλογίζεσθαι
„ τὸν οὕτω συλλογιζόμενον. οἱ δὲ περὶ τὸ συμβεβηκὸς ὁρισθέντος τοῦ συλλο-
„ γισμοῦ. ἀνήγαγε μὲν ἐν τοῖς ἄνωθεν εἰρημένοις τοὺς περὶ τὴν λέξιν παραλογισ-
μοὺς εἰς τὴν τῶν ἐλέγχου ἄγνοιαν. νῦν δὲ καὶ τὸν πρῶτον τῶν ἐκ τῆς λέξεως τὸν
περὶ τὸ συμβεβηκὸς εἰς τὴν τῶν ἐλέγχου ἄγνοιαν ἀνάγει, καὶ φησὶ ὡς ἀπὸ τῶν ὁρισ-
μοῦ τῶν συλλογισμοῦ φανερὸν γενήσεται καὶ εἰς τὴν τῶν ἐλέγχου ἄγνοιαν τῶν τοιού-
των σοφισμάτων ἀναγωγή. ὅτι δὲ ἀπὸ τῶν ὁρισμοῦ τῶν συλλογισμοῦ εἰς τὴν ῥηθεῖ-
σαν ἀνάγεται τῶν ἐλέγχου ἄγνοιαν, πιστοῦται ἐκ τῶν τὸν συλλογισμὸν ὁρίσασθαι.
εἰ γὰρ συλλογισμὸς ἐστὶ λόγος ἐν ὧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαί-
νει. ἀεὶ δὲ τοῦ συμβεβηκότος οὐκ ἀπὸ τῶν κειμένων ἕτερόν τι συμβαίνει ἢ συνάγε-
ται, ὁ ἀπὸ τοῦ συμβεβηκότος ἄρα οὐκ ἐστὶ συλλογισμός. διὸ οὐδ' ἔλεγχος. φα-
νερὸν ἄρα ὡς καλῶς καὶ οὗτος ἀνάγεται εἰς τὴν τῶν ἐλέγχου ἄγνοιαν. ἀγνοεῖ γὰρ
πῶς δεῖ ἐλέγχειν ὁ οὕτως ἐλέγχειν δοκῶν. τούτω δὲ τῶν ἐλέγχου ὁ συλλογισ-
μὸς διενήνοχε, τῷ προσκεῖσθαι ἐπ' αὐτοῦ τὴν ἀντίφασιν. ἔλεγχος γὰρ ἐστὶ συλ-
λογισμὸς μετὰ ἀντιφάσεως τῶν συμπεράσματος. εἰ γάρ τις συλλογίσαιτο τὸν ἄν-
θρωπον κατ' οὐδενὸς λίθου διὰ μέσου τῶν ζώου, οὕτω λέγων. τὸ ζῶον κατὰ παν-
τὸς ἀνθρώπου. τὸ ζῶον κατ' οὐδενὸς λίθου. ἐνίσταται δέ τις πρὸς αὐτὸν μὴ οὕτως
ἔχειν τὸ συναγόμενον. ἀλλὰ κατὰ τινὸς λίθου κατηγορεῖσθαι τὸν ἄνον. εἰ τῶν τε-
θῆ, προσληφθῆ δὲ ἡ ἑτέρα πρότασις ἡ τὸ ζῶον ἀπὸ τῶν λίθου ἀποφάσκουσα ἐν γ
σχήματι ὁ συλλογισμὸς γενήσεται. τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου συνάγων, ὅ-
περ ἐστὶ ψεῦδος παντὶ δὲ ἀνθρώπῳ τὸ ζῶον. καὶ οὕτως ὁ συλλογισμὸς τῶν ἐλέγ-
χου γενήσεται τὴν ἀντίφασιν τῶν πρώην ἔχων συμπεράσματος. οὗτος οὖν ὁ κυρί-
ως ἔλεγχος, ἐν ὧ ἡ ἀντίφασις τῶν συμπεραστέντος περιλαμβάνεται. ὁ δὲ ἀπὸ τοῦ
συμβεβηκότος, οὐκ ἔλεγχος. ἐν β δὲ σχήματι καὶ τὸν τοιοῦτον συντεθέντα
συλλογισμόν. ὅτι μὲν οὖν ὁ ἔλεγχος συλλογισμὸς ἀντιφάσεως εἴρηται καὶ δέ-
δεικται. ὅτι δὲ καὶ περὶ ἄλλων τινῶν οὐ μὴν ἀλλὰ καὶ περὶ τούτου καὶ ἀριστοτέλης
αὐτὸς ἐν τῷ β τῶν προτέρων ἀναλυτικῶν εἴρηκε, καὶ ἡμεῖς ἐν ἡμετέραις εἰς
ἐκεῖνα σχολαῖς, οἱ τῶν τοιούτων ἐντυχόντες ὑπομνήματα γνώσονται. ἐν ᾧ καὶ
τὸν ἀπὸ τῶν συμβεβηκότος μὴ ὄντα συλλογισμὸν ἀπεδείξαμεν. διὰ τὸ μὴ ἐκ
τῶν κειμένων συνάγειν τί ἕτερον. παντὶ γὰρ δῆλον ὡς οὐκ ἐστὶν ὁ τοιοῦτος σώζων ἐν
ἑαυτῷ τὸν τῶν συλλογισμοῦ ὁρισμόν. τὸ γὰρ τὸν ἄνον λέγειν μουσικόν. τὸ δὲ μουσι-
κὸν συμβεβηκός. εἶτα τὸν ἄνθρωπον συνάγειν συμβεβηκός, καὶ τὴν οὐσίαν ποι-
όν. πόρρῳ τῆς συλλογιστικῆς συζυγίας ἐστὶν ἢ μεθόδου. τὸ δὲ, οὐ γὰρ εἰ τοῦ τῶν ὄντων

ἀνάγκη τόδ' εἶναι. κατασκευαστικὴ αἰτία ἐστὶ τοῦ μὴ εἶναι τὸν ἀπὸ τοῦ συμβε-
βηκότος συλλογισμὸν, συλλογισμόν. κειμένων γὰρ τινῶν κατὰ τὴν συλλογιστι-
κὴν μέθοδον, κατ' ἐκείνην συνάγεται συλλογιστικὸν καὶ τὸ συναγόμενον. εἰ δὲ
μὴ ὡς ἡ τέχνη παρακελεύεται οἱ ὅροι τεθῶσιν. ἀνὴ ἄλλως ληφθῶσι καὶ ἄλλως,
οὐδὲ τὸ συμπέρασμα τεχνηέντως συμπεραινθήσεται. ὥσπερ δὴ κἀπὶ τῶν παρα-
δείγματος γινόμενον φαίνεται. ἀσάφειαν δὲ τῷ λόγῳ ἐνεποίησε, διά τε τοῦ, τὸν
ἐλάττονα ὅρον παραλιπεῖν. εἰ καὶ μὴ πάντη, καὶ διὰ τοῦ τὸ τόδε τι ἀπὸ τοῦ συν-
θέτου λαβεῖν, ἀπὸ οὐσίας μὲν λεγόμενον. πᾶσα γὰρ οὐσία τόδε τι σημαίνειν δοκεῖ.
δεῖ οὖν καταστῆσαι τὴν λέξιν, καὶ οὕτω εἰπεῖν, οὐ γὰρ εἰ τούτων ὄντων ἀνάγκη τό-
δε εἶναι, ἤτοι οὐ γὰρ εἰ σωκράτους ὄντος λευκὸν ἐστί. τὸ δὲ λευκὸν, χρῶμα διακρι-
τικὸν ὄψεως. αὐτὴ γὰρ τοῦ χρώματος τὸ λευκὸν παρέλαβεν, ἀνάγκη τὸν σωκρά-
την χρῶμα εἶναι διακριτικὸν ὄψεως, διὰ τὸν ἀπὸ συναχέντα ψευδῆ συλλογισ-
μόν. τούτου γὰρ δηλωτικὸν τὸ, διὰ τὸν συλλογισμόν. ἢ τὸ διὰ τὸν συλλογισμὸν
αὐτὴ τῶν διὰ τὸν φαινόμενον μὲν εἶναι συλλογισμὸν, μὴ ὄντα δὲ, διὰ τὸ ἀπὸ τῶν συμ-
βεβηκότος συναγόμενον ψεῦδος. οὐ γὰρ συλλογισμὸς ὁ τοιοῦτος, διὰ τὸ μὴ δὲ
τὸν αὐτὸν μέσον ἐν ἀμφοτέραις λαμβάνεσθαι ταῖς προτάσεσιν, εἰ καὶ τοῖς
ἀτέχνοις συλλογισμὸς καὶ τὸ τοιοῦτον δοκεῖ. ἄλλως μὲν γὰρ τὸ λευκὸν ἐν τῇ ἐ-
λάττονι προτάσει παρείληπται τῇ λεγούσῃ, ὁ σωκράτης λευκὸς ἐστὶν, καὶ ἄλ-
λως ἐν τῇ μείζονι. ἐν μὲν γὰρ τῇ ἐλάττονι τὸ σύνθετον παρελήφθη αὐτὴ λέγω ἡ οὐ-
σία μετὰ τῆς ποιότητος. ἐν δὲ τῇ μείζονι μόνη αὐτὴ ἡ ποιότης. οὐδεῖ δὲ οὕτως ἐλέγ-
χειν τὸν ἄλλως συλλογισμὸν, ἀνὴ τὸν αὐτὸν ὅρον καὶ ὁμοίως ἐν ταῖς δυσὶ προ-
τάσεσιν παραλαμβάνεσθαι. μᾶλλον δὲ οἶμαι τὸ τοιοῦτον σόφισμα ἀπὸ τοῦ
φαίδρου καὶ ἐνταῦθα παρειλῆφθαι, διὰ τὸ ἐκεῖσε τὸν σωκράτην ὁμόδουλον ἑ-
αυτὸν ἀποφαίνειν τῷ κύκνῳ. ἵν' ἢ ὁ λόγος οὕτως ἐν β̄ σχήματι ἐκ δύο κατα-
φατικῶν μερικῶν συναγόμενον. ὁ σωκράτης λευκὸς, ὁ κύκνος λευκός. ὁ σω-
κράτης ἄρα κύκνος. ὡς εἶναι τὸ, τοῦτο δὲ ἐστὶ λευκὸν, ἴσον τῷ τοῦτο δὲ τὸ λευκὸν
κύκνος ἐστί. καὶ δεῖ παραλαμβάνειν αὐτὴ τοῦ λευκοῦ τὸν κύκνον. τὸ δὲ, οὐδ' εἰ τὸ
τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει, κατασκευαστικὸν ἐστὶ καὶ αὐτὸ, καὶ μὴ εἶναι
τοῦ συμβεβηκότος συλλογισμός. τοῦτο δ' ἐστὶ ὃ φησίν. οὐ γὰρ εἰ τὸ τρίγωνον
δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, συμβέβηκε δὲ αὐτῷ καὶ σχήματι εἶναι. ὅτι
σχῆμα ἐστὶ τοῦτο. τουτέστι τοῦτο λέγω δὴ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς
ἴσας ὑπάρξει παντὶ σχήματι. τοῦτο γὰρ τὸ ὅτι σχῆμα σημαίνει ἢ οὕτω, οὐδ' εἰ τὸ
τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, συμβέβηκε δ' αὐτῷ σχήματι εἶναι,
ὅτι σχῆμα, αὐτὴ τοῦ διότι σχῆμα τὸ τρίγωνον. ἤδη παντὶ σχήματι τὸ ἔχειν τὰς
τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ὑπάρξει. οὐ γὰρ ὡς ἀπὸ σχήματος ποιοῦμεν τὴν τῶν
γωνιῶν ἀπόδειξιν, ἀνὴ ὡς ἀπὸ τριγώνου. ἡ δὲ τῶν παραλογισμῶν ἀγωγὴ ἐν γ̄
σχήματι συναχθήσεται. τὸ τρίγωνον σχῆμα ἐστὶ, τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυ-
σὶν ὀρθαῖς ἴσας ἔχει. τὸ σχῆμα ἄρα τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει. ὥστε
καὶ τὸ

καὶ τὸ τετράγωνον διὰ τὸ εἶναι σχῆμα τὰς γωνίας τοιαύτας ἕξει. τοῦτο δὲ ἄτο-
πον. οὐ γὰρ ἐστὶ τὸ ὀκτάγωνον τοιοῦτον ἢ τὰ λοιπὰ σχήματα ἢ ὁ κύκλος. ἀλλὰ
καὶ ὁ συλλογισμὸς ὁ συνάγων διὰ μέσου τοῦ τριγώνου, ὅτι ἡ ἀρχὴ καὶ τὸ πρῶ-
τον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, ἐν γ̄ συνάγεται σχήματι. δεῖ οὖν εἰπεῖν
οὕτως. οὐκ ἔστι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας. συμβέβηκε δὲ
αὐτῷ σχήματι εἶναι, ἢ πρώτῳ, ἢ ἀρχῇ. διότι τοῦτο τουτέστι τὸ τρίγωνον σχῆμα
ἐστὶ ἢ ἀρχὴ ἢ πρῶτον, ἤδη πᾶν σχῆμα τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἕξει.
οὐ γὰρ ὡς ἀπὸ σχήματος τὰς τῶν γωνιῶν ἀποδείξεις, ἀλλ' ὡς ἀπὸ τριγώνου ποιοῦ-
μεν, οὐδ' ὡς ἀπὸ πρώτου ἢ ἀρχῆς. ὅμοιος τοῖς ῥηθεῖσιν παραλογισμοῖς ἐστὶ καὶ
οὗτος. ὁ κύων σὸς ἐστίν. οὗτος πατὴρ ἐστίν. ὁ κύων ἄρα σὸς πατὴρ ἐστίν. ὁμοίως
δὲ καὶ ἀπὸ τῶν ἄλλων σοφισμάτων τῶν περὶ τὸ συμβεβηκός. ἐλλειπὴς γὰρ ἡ
λέξις. εἰ οὖν ὁ ἔλεγχος συλλογισμὸς τίς ἐστίν. ὁ δὲ ἀπὸ τοῦ συμβεβηκότος οὐκ
ἐστὶ συλλογισμὸς, οὐδὲ ἔλεγχος ἄρα. διὰ δὲ τὸ ἀγνοεῖν τὸν κυρίως ἔλεγχον,
καὶ οἱ τεχνῖται καὶ ὅλως οἱ ἀπιστήμονες περὶ ἕκαστα, ὑπὸ τῶν ἀνεπιστημόνων ἤτοι
τῶν σοφιστῶν δοκοῦσιν ἐλέγχεσθαι. τοῦτο γὰρ ἐστὶ, τὸ, ἐλέγχονται. ἕκαστος γὰρ
ἀπιστήμων, εἰ τύχη ἀγνοῶν τίς ὁ ἔλεγχος, ἀπατηθήσεται περὶ ἐκεῖνα περὶ ἃ ἐ-
στὶν ἀπιστήμων, ὑπὸ τοῦ ἀνεπιστήμονος, ὅς τις ἐστὶν ὁ σοφιστής. οἷον, ὁ πᾶς τὰ μα-
θηματικὰ ἢ τὰ μουσικὰ ἀπιστήμων, ἀγνοῶν τὸν ἀπὸ τοῦ συμβεβηκότος συλλο-
γισμὸν ἢ ἔλεγχον, ἀνάπατηθήσεται. ἀπὸ γὰρ τῶν συμβεβηκότων ποιοῦνται
πρὸς τοὺς ἀπιστήμονας οἱ ἀνεπιστήμονες τοὺς συλλογισμούς. οἱ δὲ ἀπιστήμονες
εἰ τύχωσι μὴ δυνάμενοι διαιρεῖν καὶ διακρίνειν ποιοῖ οἱ ἀπὸ τῶν καθ' αὑτὸ συλ-
λογισμοὶ, καὶ ποιοῖ οἱ ἀπὸ τῶν κατὰ συμβεβηκός. οἱ ὀρθωτώμενοι συγχωροῦ-
σι τὰ ὀρθωτηθέντα καὶ ἐλέγχονται, ἢ μὴ συγχωροῦντες ἀλλὰ τὴν σιωπὴν τι-
μῶντες, καὶ οὕτως συγκατανεύειν τῇ ὀρθωτήσει περὶ τῶν ἀκουόντων ὑπολαμ-
βάνονται διὰ τὸ τὴν σιωπὴν συγκαταθέσεως εἶναι δηλοτικήν. οἱ δὲ περὶ τὸ πῆ
καὶ ἁπλῶς, ὅτι οὐ τοῦ αὐτοῦ ἡ κατάφασις καὶ ἡ ἀπόφασις. β̄ ἐστὶν ὡς ἐμά-
θομεν τῶν ἐκτὸς τῆς λέξεως παραλογισμῶν ὁ περὶ τὸ πῆ καὶ ἁπλῶς. ὅτι δὲ
καὶ οὗτος περὶ τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἐστὶ, πᾶσι καταφανές. ἔλεγχος γὰρ
ἐστὶν ὡς πολλάκις εἴρηται, ὅταν ἐξ ὧν δίδωσιν ὁ ἀποκρινόμενος συμβαίνει ἀπο-
φάσκεσθαι ἢ καταφάσκειν. ἀπὸ δὲ τούτου οὐχ οὕτως. οὐ γὰρ εἰ ἀπὸ τῶν ἀποκρι-
νομένου διδόντος πῆ εἶναι λευκὸν τὸν ἀνθίοπα, ὁ ὀρθωτῶν δι' ὅλου τοῦ σώματος μέ-
λανα εἶναι αὐτὸν ἀποδείκνυσιν, εἰς ἀντίφασιν ἤγαγε τὸν προσδιαλεγόμενον.
δῆλα δὲ τὰ λεγόμενα ἐξ ὧν εἴπομεν, ὅτε τὸν τρόπον τούτου κατ' ἀρχὰς ἐξηγού-
μεθα. καὶ πάντες μὲν οὖν φησὶ οἱ παραλογισμοὶ εἰς τὴν τῶν ἐλέγχου ἄγνοιαν ἀ-
ναχθήσονται. καὶ φανερώτατοι δὲ μάλιστα πάντων τῶν εἰς αὐτὰ ἀναγομένων ὁ περὶ
τὴν λέξιν ἔνθα καὶ οὕτως προσηγορεύθησαν. ὡς τῆς λέξεως αἰτίας γινομένης τῶν
παραλογίζεσθαι. τὸ δὲ περὶ γὰρ τῶν λόγου τὴν ἔλλειψιν ἡ φαντασία γίνεται. ἡ τῶν
δοκεῖν ἐλέγχειν καὶ ἀπατᾶν, καθολικῶς λέλεκται. τοιοῦτο δὲ ἐστὶ τὸ διὰ τούτου

δηλούμενον, ὅτι πᾶς οἱοσδήποτε παραλογισμὸς, καὶ πᾶσα φαντασία παρα-
λογισμοῦ, περὶ ἔλλειψιν τινὰ γίνεται τοῦ λόγου. τουτέστιν τοῦ ὁρισμοῦ τοῦ ἐλέγ-
χου, ἢ λόγου τοῦ συλλογισμοῦ φησὶ, καθὸν ὁ ἀληθὴς ἔλεγχος γίνεται. ὅταν δέ
τι ἐλλείπῃ τοῦ προειρημένου διορισμοῦ ἔλεγχος ἀληθὴς γίνεται. ὅταν δέ τι ἐλ-
λείπῃ, φαινόμενος. οἱ δὲ περὶ τὸ λαμβάνειν τὸ ἐν ἀρχῇ καὶ τὸ αἰτίον. πά-
νυ σαφῆ εἰσὶ ταῦτα τοῦ ἀριστοτέλους ῥήματα. καὶ οὐδέν τι περιγενομένον ἔ-
χουσι. δηλοῦσι γὰρ ὅτι καὶ οἱ δύο οὗτοι παραλογισμοὶ, ὅ, τε τὸ ἐν ἀρχῇ λαμβά-
νων, καὶ ὁ τὸ αἰτίον ὡς αἴτιον τιθεὶς, δῆλοι εἰσὶν ὡς εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν
ἀνάγονται διὰ τοῦ ὁρισμοῦ τοῦ ἐλέγχου. ἐπειδὴ γὰρ ὁ ἔλεγχος ὡς πολλάκις εἴ-
ρηται συλλογισμὸς ἐστὶν, ἐν δὲ τῷ συλλογισμῷ, οὔτε τὸ ἐν ἀρχῇ κεῖσθαι δεῖ, καὶ
τὰ κείμενα δὲ αἴτια χρὴ εἶναι τοῦ συμπεράσματος. ὁ τοῦ ἐξ ἀρχῆς αἰτούμενος,
καὶ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνων, δῆλον ὡς οὐ συλλογίζεται. εἰ δὲ μὴ συλ-
λογίζεται, οὐδὲ ἐλέγχει. εἰσὶ δὲ καὶ οὗτοι τῶν ἐκτὸς τῆς λέξεως παραλογισ-
μῶν. δ δὲ ὁ τὸ ἐν ἀρχῇ αἰτούμενος καὶ λαμβάνων. ϛ δὲ ὁ τὸ μὴ αἴτιον ὡς
αἴτιον τιθεὶς. οἱ δὲ περὶ τὸ ἑπόμενον, μέρος εἰσὶ τοῦ συμβεβηκότος. πέμπτος
μὲν ἐστὶ τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων ὁ περὶ τὸ ἑπόμενον παραλογισμός.
ὑπάγει δὲ τοῦτον εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν συλλογιζόμενος. συλλογίζεται
δὲ οὕτω. οἱ περὶ τὸ ἑπόμενον παραλογισμοὶ μέρη εἰσὶ τοῦ συμβεβηκότος. οἱ ἀπὸ
τοῦ συμβεβηκότος παραλογισμοὶ εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγονται. δῆλον
οὖν ὡς καὶ οἱ περὶ τὸ ἑπόμενον εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγονται. τὸ γὰρ ξαν-
θὸν τὸ ἑπόμενον τῷ μέλιτι. καὶ τὸ διάβροχον εἶναι τὴν γῆν ὑετοῦ κατεγηνεγμέ-
νου, συμβεβήκασι, τὸ μὲν, τῷ μέλιτι. τὸ δὲ, τῇ γῇ, καὶ ὅτι μὲν μέρος εἰσὶ τοῦ συμ-
βεβηκότος οἱ περὶ τὸ ἑπόμενον δῆλον. φανερὰ δὲ ἐστὶ καὶ ἡ τούτων διαφορά. δια-
φέρουσι γὰρ οἱ περὶ τὸ ἑπόμενον ἔλεγχοι τῶν περὶ τὸ συμβεβηκός. ὅτι οἱ μὲν περὶ
τὸ συμβεβηκὸς ἐφ' ἑνὸς μόνου λαμβάνονται. τουτέστιν ἐφάπαξ, καὶ οὐκ ἀντιστρέ-
φονται. ἐφ' ἑνὸς γὰρ μόνου λῆψιν τὸ μὴ ἀντιστρέφειν λέγει. ὡς οὖν τούτου τὸ μέλι
ξανθόν. τὸ ξανθὸν, χρῶμα. τὸ χρῶμα, ποιότης. τὸ μέλι ἄρα ποιότης. ἢ τό. ἐφ' ἑνὸς
λαβεῖν, τοιοῦτον ἐστὶν, ἢ τί τοιοῦτον σημαίνειν ὡς ὁ σοφιστὴς τὸ συμβεβηκὸς καὶ
τὸ ὑποκείμενον ὡς ἓν καὶ ταυτὸν λαμβάνει καὶ μίαν φύσιν οἴεται ἑκατέρων.
ἐπειδὴ γὰρ φησὶ τὸ μέλι καὶ τὸ ξανθὸν, ταυτόν. τὸ δὲ ξανθὸν, χρῶμα τὸ μέλι ἄ-
ρα χρῶμα. καὶ πάλιν ἐπειδὴ τὸ λευκὸν κύκνος. ὁ δὲ κύκνος οὐσία. καὶ τὸ λευ-
κὸν οὐσία. ἢ οὕτως ὃ ἐγὼ εἰμὶ, σὺ οὐκ εἶ. ἄνθρωπος δ' εἰμὶ ἐγώ. σὺ ἄρα ἄνθρωπος
οὐκ εἶ. οἱ μὲν οὖν περὶ τὸ συμβεβηκὸς ἐφ' ἑνὸς μόνου λαμβάνονται. οἱ δὲ περὶ τὸ
ἑπόμενον ἀεὶ ἐν πηείοσι τουτέστιν ἐν ἀντιστροφῇ. οἷον. εἰ ὁ κλέπτης. νύκτωρ πλα-
νᾶται, καὶ ὁ νύκτωρ πλανώμενος κλέπτης ἐστί. καὶ εἰ ὁ τυραννίζειν μέλλων ὅ-
πλα παρασκευάζει, καὶ ὁ ὅπλα παρασκευάζων τυραννίζειν μέλλει. ἀλλὰ
μὴν ὁ σωκράτης νύκτωρ πλανᾶται, καὶ ὁ περικλῆς ὅπλα παρασκευάζει. κλέ-
πτης ἄρα ὁ σωκράτης, καὶ ὁ περικλῆς τυραννίζειν μέλλει. ὥς τε ὅταν μὲν στρέ-

φωμεν τοὺς ὅρους, ὡς οὖν τούτων ἔχει τῶν εἰρημένων, καὶ μετὰ τὴν ἀντιστροφὴν
προσλάβωμεν ὅρον, περὶ τὸ ἑπόμενον τὸ τοιοῦτον λέγεται σόφισμα. ὅταν δὲ
μὴ ἀναστρέψωμεν, ἀπὸ εὐθὺς τῇ ληφθείσῃ προτάσει προσλάβωμεν ἑτέραν
πρότασιν. ὡς ὅταν λέγωμεν τὸ μέλι ξανθόν. τὸ ξανθὸν, χρῶμα. περὶ τὸ συμβε-
βηκὸς ἐστὶ τὸ σόφισμα. μέρος ἄρα ἐστὶ τὸ παρὰ τὸ ἑπόμενον τοῦ περὶ τὸ συμβε-
βηκός. διαιροῦνται γὰρ οἱ περὶ τὸ συμβεβηκὸς εἰς τε τοὺς λαμβάνοντας τοὺς
ὅρους ὡς ἀντιστρέφοντας, καὶ εἰς τὸ μὴ τοιούτους. ἀλλὰ ἴσως ἐρωτήσειε τίς. ὅτι
διὰ τί οὐκ εἶπεν οἱ παρὰ τὸ ἑπόμενον, ἀεὶ ἐν ἀντιστροφῇ, ἀπὸ ἀεὶ ἐν πηείοσιν. ἢ διότι
ἄλλο μὲν ἐστὶν τὸ λέγειν ὁ κύκνος λευκὸς, καὶ ἄλλο τὸ λέγειν τὸ λευκὸν κύκνος.
ἐκείνου μὲν γὰρ ὁ κύκνος ἐστὶν ὑποκείμενον. τὸ δὲ λευκὸν κατηγορούμενον. οὕτως
δὲ καὶ τὸ ἔμπαλιν. ὑπόκειται μὲν τὸ λευκόν. κατηγορεῖται δὲ ὁ κύκνος. οἱ μὲν
οὖν περὶ τὸ ἑπόμενον παραλογισμοί. τοιοῦτοι εἰσὶ, δηλονότι ἀντιστρέφοντες τοὺς ὅ-
ρους. καὶ ἕτερον προσλαμβάνοντες, καὶ τοιοῦτοι ἀποτελούμενοι. ὅρα δὲ καὶ τὸ τοῦ
ἀριστοτέλους παράδειγμα. ἐπειδὴ εἰ ὁ κύκνος καὶ ἡ χιὼν τῷ λευκῷ ταυτὸν ἐ-
στίν. ἄμφω γὰρ λευκὰ, τὸ κύκνον χιόνα ἀξιοῦσιν εἶναι. νομίσαντες γὰρ ὅτι ἐπειδὴ
ἡ χιὼν λευκή. καὶ τὸ λευκὸν χιόνα διὰ τῆς ἀντιστροφῆς λέγοντες, ἔστι δὲ καὶ ὁ κύ-
κνος. ὑπολαμβάνοντες ὅτι καὶ ὁ κύκνος χιὼν ἐστί. καὶ διὰ τοῦτο γίνεται ὁ περὶ τὸ
ἑπόμενον ἔλεγχος. ἔστι δὲ οὐκ ἀναγκαῖον. ἐπειδὴ ὁ κύκνος κατὰ συμβεβηκὸς
ἐστὶ λευκόν. τοιοῦτον ἐστὶ καὶ ὁ τοῦ μελίσσου λόγος ὡς καὶ ἐν τοῖς προλαβοῦσι ἐδεί-
ξαμεν. λαβὼν γὰρ ὅτι τὸ γεγονὸς ἀρχὴν ἔχει. καὶ νομίσας ἀντιστρέφειν συνεπε-
ράνατο λέγων, εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, καὶ τὸ ἀρχὴν ἔχον γέγονεν. ὥς τε εἴτι
μὴ γέγονεν ἀρχὴν οὐκ ἔχει. τὸ δὲ μὴ ἀρχὴν ἔχον ἄπειρον. ὥς τε τὸ μὴ γεγονὸς ἄ-
πειρον. τὸ δὲ ὂν οὐ γέγονεν. τὸ ὂν ἄρα ἄπειρον. τὸ δὲ ἢ τὸ ἴσοις γίνεσθαι καὶ τὸ αὐ-
τὸ μέγεθος λαμβάνειν, ὅτι μὲν περὶ τὸ ἑπόμενον ἐστὶ δῆλον. ἔστι δὲ καὶ τὸ σόφισ-
μα τόδε τοιοῦτον εἰ τὰ τὸ αὐτὸ καὶ ἓν μέγεθος λαμβάνοντα ἴσα ἐστὶ, καὶ τὰ ἴσα γι-
νόμενα τὸ αὐτὸ μέγεθος ἓν λαμβάνουσι. σωκράτης δὲ καὶ θεαίτητος ἴσα ἐστὶ, σω-
κράτης ἄρα καὶ θεαίτητος τὸ μέγεθος ταυτὸν καὶ ἓν ἐστίν. ἀπὸ μὴν οὐκ ἐστὶ ταυ-
τόν. τίνα δὲ ἀνεῖη τὰ τὸ αὐτὸ καὶ ἓν μέγεθος λαμβάνουσιν. ἢ δηλονότι τὰ πο-
λυώνυμα. ὃ γὰρ μέγεθος λαμβάνει ὁ ἄνθρωπος τοῦτο καὶ ὁ βροτός. καὶ ὁ τὸ ἱμά-
τιον τοῦτο καὶ τὸ λώπιον. ὥς τε τὰ τὸ αὐτὸ μέγεθος λαμβάνοντα καὶ ἴσα ἐξ
ἀνάγκης γίνεται οὐ μὴν ἀλλὰ καὶ τὰ ἴσα γινόμενα τὸ αὐτὸ λαμβάνει μέγε-
θος. οὐ γὰρ ταυτὸν τὸ τοῦ σωκράτους μέγεθος τὸ τοῦ θεαιτήτου. εἰ γὰρ καὶ ἴσα
ἐστὶν, ἀλλ' ἕτερον. ὁμοίως φησὶ καὶ οὖν τῶν ἴσων γινομένων. γίνεται γὰρ καὶ ὁ πα-
ραλογισμὸς οὗτος περὶ τὸ ἑπόμενον. τὰ μὲν γὰρ τὸ αὐτὸ μέγεθος καὶ ἓν λαμ-
βάνοντα, ἴσα γίνεται. ἀληθές. οὐ μὴν καὶ τὰ ἴσα γινόμενα τὸ αὐτὸ μέγεθος
λαμβάνει. γίνεται δὲ ὁ παραλογισμὸς, διὰ τὸ ἐκεῖ μὲν τὸ αὐτὸ καὶ ἓν μέγε-
θος, ταυτὸν λέγειν τῷ ὅρῳ. ὁ γὰρ σωκράτης καὶ ὁ πράτων εἰ τύχη καὶ ἄμφω
τριπήχεις ὄντες τὸ αὐτὸ καὶ ἓν μέγεθος ἔχοντες ἴσοι εἰσί. ταυτὸν γὰρ ἐστὶ τῷ

ποσῷ τὸ ἀμφότερον μέγεθος. οὐ μὴν καὶ τὰ ἴσα γινόμενα τὸ αὐτὸ μέγεθος ἔχου
σιν. οὐ γὰρ οἱ αὐτοὶ πάλιν ἴσοι ὄντες τὸ αὐτὸ τῷ ἀριθμῷ μέγεθος ἔχουσιν. ἄλλο
γὰρ τὸ μέγεθος ἐν τῷ σωκράτῃ, καὶ ἕτερον τὸ ἐν τῷ πλάτωνι. ἐκεῖ μὲν οὖν ὡς εἴ
πομεν τὸ αὐτὸ τῷ εἴδει καὶ τῷ ὅρῳ λαμβάνεται. ἐνταῦθα δὲ τῷ ἀριθμῷ. ἀπίσκε
πτέον δὲ φησὶ τοῦτο καὶ ἄλλως. αὐτὸς μὲν συλλογισάμενος τὸν περὶ τὸ ἑπόμε
νον παραλογισμὸν εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνήγαγεν. ἀπίσκεψασθαι δὲ
λέγει, μήποτε καὶ καθ' ἕτερον τινὰ τρόπον εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀναχρήσε
ται ἢ περὶ τὸ ἄλλον καὶ ἄλλον λαμβάνειν τὸν μέσον, ἢ κατ' ἄλλο τι τῶν ἐν τῷ
ὁρισμῷ τοῦ ἐλέγχου ἀπηριθμημένων. οἱ δὲ περὶ τὸ τὰ πλείονα ἓν ποιεῖν. καὶ ὁ ἕβ
δομος τοῦ ἐκτὸς τῆς λέξεως παραλογισμῶν, ὁ περὶ τὰ δύο ὀρωτήματα ἓν ποι
εῖν γινόμενος, ὅτι εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγεται δῆλον. ἐπειδὴ γὰρ ὡς
πολλάκις εἴρηται ὁ ἔλεγχος συλλογισμὸς ἐστὶν ἀντιφάσεως. ἐν δὲ τῷ συλλογι
σμῷ ἕνα δεῖ εἶναι τὸν ὑποκείμενον καὶ ἕνα τὸν κατηγορούμενον. ἐν δὲ τῇ τὰ πλείω
ὀρωτήματα ὀρωτήσει. τοῦτο οὐκ ἐστί. δῆλον ὡς οὐκ ἂν εἴη συλλογισμός. γί
νεται οὖν φησὶν ἐν τῷ μὴ διαιρεῖν τὸν ἀποκρινόμενον τὸν τῆς προτάσεως λόγον.
τουτέστι ἐν τῷ μὴ δύνασθαι αὐτὸν διαιρεῖν τὴν κυρίως πρότασιν ἐκ τῆς δοκού
σης προτάσεως, κἀντεῦθεν ἀπατᾶσθαι. πρότασις μὲν γὰρ ἐστὶν ἡ ἓν καθ' ἑνὸς ὑ
ποκειμένου κατηγοροῦσα. αὕτη δὲ ἡ τοῦ σοφιστοῦ πλείω καθ' ἑνὸς λέγουσα οὐκ ἐστὶ
πρότασις. τὸ δὲ ὁ γὰρ αὐτὸς ὅρος ἑνὸς μόνου καὶ ἁπλῶς τοῦ πράγματος, τοιοῦτον
ἐστὶν ὅτι καὶ τὸ κατηγορούμενον ἓν ὀφείλει εἶναι, καὶ τὸ ὑποκείμενον ἕν. καὶ ὁ αὐ
τὸς ὅρος ἀμφότερος. ἢ μᾶλλον οὕτω ὁ αὐτὸς φησὶ ὅρος ἑνὸς μόνου, τουτέστιν ἓν
καὶ μόνον ὀφείλει εἶναι τὸ κατηγορούμενον. καὶ ἁπλῶς εἰπεῖν καὶ τοῦ ὑποκειμένου.
πρᾶγμα γὰρ ὡς πολλάκις εἴπομεν τὸ ὑποκείμενον λέγεται. τὸ δὲ οἷον. ἀνοῦ καὶ
ἑνὸς μόνου ἀνοῦ παράδειγμα ἐπήγαγεν κατηγορουμένου καὶ ὑποκειμένου. ἀνοῦ
μὲν λέγων τὸν κατηγορούμενον. ἕνα δὲ μόνον ἀνοῦ, τὸν ὑποκείμενον. εἰ γὰρ κατη
γορεῖται ὁ ἀνὸς. καθ' ἑνὸς μόνου κατηγορηθήσεται τοῦ σωκράτους, οὐ κατὰ σωκρά
τους καὶ πλάτωνος καὶ ἀλκιβιάδου. καταχρηστικώτερον δὲ τῷ τοιούτῳ ἐχρήσα
το παραδείγματι. σαφῶς δὲ καὶ αὐτὸς ὁ ἀριστοτέλης τὰ ἑξῆς ἀπαγγέλλει. πλὴν
ἐν τῇ λέξει τῇ, φανερὸν ὅτι καὶ οὗτος ἐν τῇ τοῦ ἐλέγχου ἀγνοίᾳ. τὸ οὗτος, περὶ τοῦ
παραλογισμοῦ εἴρηκε τοῦ ἐκ τοῦ τὰ πλείω ὀρωτήματα ἓν ποιεῖν ὡρμημένου. εἰ μὲν
οὖν δέδωκε φησὶ ὁ ὀρωτηθεὶς ὡς πρὸς μίαν ὀρώτησιν ἔσται ἔλεγχος. κυρίως μὲν
οὖν οὐδ' οὕτως ἔλεγχος ἐστὶ, πλὴν ἐπειδήπερ μὴ προσχὼν τοῖς ὀρωτημένοις δέ
δωκεν ὡς μίαν ὀρώτησιν ὀρωτηθεὶς, λέγεται ἠλέγχαι. εἰ δὲ μὴ δέδωκεν ἀλλὰ φαί
νεται δηλονότι δεδωκώς. τοῦτο γὰρ δεῖ ἔξωθεν προσεπινοεῖν. ἔσται φαινόμενος
ἔλεγχος. ἀλλὰ τότε δὴ μὴ δεδωκὼς φαίνεται δεδωκέναι. ἢ δηλονότι ὅταν τὸ ἴ
σως, ἢ τὸ τρόπον τινὰ, ἢ τὸ ἔστω. ἐν ταῖς ἀποκρίσεσι πρὸς ἀπηφθέγγηται. οἷον, εἴ
τις ἤρετο. ἆρα τε ὁ τοῦτον καὶ τοῦτον τύπτων, ἀνθρωπον τύπτει; ὁ δὲ ἀποκρινόμε
νος φησὶ ἴσως, ἢ ὅτι τρόπον τινὰ, ἢ ὅτι ἔστω. ἐκ τοῦ λόγου φαίνεται μὲν δεδωκέναι.

οὐ δέδωκε δέ. οὕτω καὶ πρῶτα γόρας καὶ θρασύμαχος, καὶ ἄλλοι πολλοὶ τὰς
ἀποκρίσεις φαίνονται ποιούμενοι. τὸ γὰρ ἴσως ἢ τὸ ἔστω καὶ τὰ τοιαῦτα, οὐδο
κοῦσιν εἶναι συγχωρούντων, ἀλλὰ μὴ ἀρεσκομένων τῇ ὀρωτήσει. τυχὸν δὲ
καὶ μὴ ἀποκρινόμενοι ἀλλὰ σιγῶντες φαίνονται δεδωκέναι, καὶ διὰ τοῦτο καὶ ἐ
λέγχεσθαι φαίνονται. καὶ οὐ κυρίως δὲ ἐλέγχονται. ὥς τε πάντες οἱ τρόποι πί
πτουσι. δείξας ἐκ τῆς ἐπαγωγῆς ὅτι πάντες οἱ τρόποι εἰς τὴν τοῦ ἐλέγχου ἄ
γνοιαν ἀνάγονται. καὶ πάλιν ἡμᾶς ἀναμιμνήσκει τῆς τούτων ἀναγωγῆς. καὶ σα
φέστατα ἀναγγέλλει πῶς οἱ δεκατρεῖς τρόποι εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν
ἀνάγονται. καὶ φησὶ ὅτι οἱ μὲν περὶ τὴν λέξιν εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνά
γονται, διὰ τὸ μὴ ἀληθῆ συνάγειν ἀντίφασιν, ὅπερ ἐστὶν ἴδιον ἐλέγχου, ἀλλὰ φαινο
μένην. οὐ γὰρ τοῦ ἐλέγχου ἐστὶ τοῦ κυρίως ἴδιον, τὴν φαινομένην συνάγειν ἀντίφα
σιν, ἀλλὰ τούτου μὲν τὴν τὸ ἀληθὲς ἀληθῆ ἀντίφασιν. τοῦ δὲ σοφιστικοῦ τὸ φαινο
μένως. τοῦ γὰρ ἀποκρινομένου δόντος τὸν σιγῶντα μὴ λέγειν, ὁ σοφιστὴς οὐ τοῦ
το συνάγει. λέγω δὴ τὸ τὸν σιγῶντα λέγειν, ἀλλ' ὅτι τὰ σιγώμενα δυνατὸν ἐ
στὶν ἡμᾶς λέγειν. ὥς τε οὐ καλῶς ὁ ἀποκρινόμενος ἐλέγχεται περὶ τοῦ σοφιστοῦ,
ἀλλὰ περὶ τὴν τοῦ ἐλέγχου ἄγνοιαν. καὶ οἱ μὲν περὶ τὴν λέξιν, οὕτω ἀνάγονται
εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. οἱ δ' ἄλλοι. ἄλλους δὲ λέγει τοὺς ἐκτὸς τῆς λέξε
ως παραλογισμοὺς, εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγονται περὶ τὸν τοῦ συλ
λογισμοῦ ὅρον. εἰ γὰρ συλλογισμὸς ἐστὶν ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κει
μένων συμβαίνει. οἱ δὲ περὶ τὸ συμβεβηκὸς καὶ τὸ ἑπόμενον καὶ οἱ λοιποὶ οὐκ
ἐκ τῶν τεθέντων τῷ ἀποκρινομένῳ τὰ συναγόμενα συμπεραίνονται, δῆλον ὅτι
περὶ τὸν τοῦ συλλογισμοῦ ὅρον ταῦτα συνάγουσι. καὶ εἴη ἂν τὸ περὶ τὸν τοῦ συλ
λογισμοῦ ὅρον ἴσον τῷ, ἀσυλλόγιστοι δὲ εἰσὶν οἱ ἐκτὸς τῆς λέξεως παραλογι
σμοί. ἡδ' ἀπάτη γίνεται τῶν μὲν παρὰ τὴν. εἰπὼν πόσοι τε καὶ τίνες εἰσὶν
οἱ τρόποι καθ' οὓς οἱ σοφισταὶ τοὺς διαλεγομένους ἐπηρεάζουσι. μετὰ δὲ ταῦτα
δείξας ὅτι πάντες δυνάμεθα λέγειν παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν γίνεσθαι.
λέγει καὶ τὴν αἰτίαν καθ' ἣν περὶ τῶν σοφιστῶν ἀπατώμεθα. καὶ αἰτιᾶται τὴν ἄ
γνοιαν ἡμῶν. ἡ ἀπάτη γὰρ φησὶ γίνεται ἀπὸ τῶν ὁμωνύμων καὶ τῶν ἀμφιβόλων.
λόγον γὰρ τὴν ἀμφιβολίαν λέγει. διὰ τὸ μὴ δύνασθαι διαιρεῖν, ποσαχῶς τὸ
πρᾶγμα λέγεται. καὶ ὁπηνίκα τί ὀρωτητῶμεν ὁμώνυμον ἢ ἀμφίβολον ὡς ἁ
πλῶς λεγόμενον συγχωροῦμεν καὶ ἀπατώμεθα. ἀπὸ τινῶν γὰρ οὐκ εὐχερὲς
ἐστὶν οὐδὲ ῥᾴδιον συνιδεῖν. ὅτι τῶν πολλακῶς λεγόμενον ἐστὶ τὸ ὀρωτώμενον, ὡς
τὸ ἓν καὶ τὸ ὂν καὶ τὸ ταυτόν. τῶν δὲ περὶ τὴν σύνθεσιν καὶ διαίρεσιν παραλογι
σμῶν ἀπὸ ταύτης γίνεται, τὸ μὴ εἰδέναι ἡμᾶς, ὅτι οὐ ταυτὸν σημαίνει ὁ λόγος
συντιθέμενος τε καὶ διαιρούμενος, ἀλλὰ τότε μὲν ἕτερον νοῦν εἰσάγει, τότε δὲ ἕ
τερον. οἰόμεθα δὲ ταυτὸν σημαίνειν τὸν λόγον καὶ συντιθέμενον καὶ διαιρούμε
νον. ὡς ἀπὸ πολλῶν ἔχει. ἀπὸ γὰρ τῶν πλειστῶν οὐκ ἄλλο δηλοῖ ὁ λόγος συντι
θέμενος καὶ ἄλλο διαιρούμενος, ἀλλὰ τὸ αὐτὸ, ὁμοίως δὲ καὶ ἀπὸ τῶν παρα

τὴν προσωδίαν ἔχει παραλογισμῶν. οὐ γὰρ ἴσασιν οἱ ὁρωτώμενοι, ὅτι πᾶλλο σημαίνει ὁ λόγος ἀπέμφυσις καὶ ἄπεπτευόμενος, τουτέστιν ὀξυνόμενος ἢ προπαροξυνόμενος. ἐπ' οὐδενὸς γὰρ τὸ αὐτὸ σημαίνει ἄπεπτευόμενος καὶ ἀπέμφυσις, ἢ μάλιστα οὐκ ἄπεπτολλῶν. ἐπ' ὀλίγων δὲ πάντων, βάλης γὰρ καὶ βαλὴς τὸ αὐτὸ δηλοῖ, καὶ ἄμφω γὰρ ὀνόματα κύρια. ἄγνος δὲ καὶ ἀγνός, καὶ ἄρχης καὶ ἀρχὸς, ἄλλο καὶ ἄλλο δηλοῖ. χαχεδὸν ἄπεπτων πάντων. ἄπεπτων δὲ τῶν περὶ τὴν ὁμοιοχημοσῶσιν γινομένων παραλογισμῶν ἀπαθὴς γίνεται, διὰ τὸ χαλεπὸν εἶναι διελεῖν, πότε ὡσαύτως καὶ πότε ὡς ἑτέρως λέγεται. τοῦτο δὲ εἴρηται διὰ τὰ ἐνεργητικῶς ἐκφερόμενα, παθῶν δὲ ὄντα σημαντικά, οἷον ἐστὶ τὸ ὁρᾶν τὸ ἀκούειν καὶ τὸ μανθάνειν. ταῦτα γὰρ ἐνεργητικὰ εἰσὶ καὶ παθους δηλωτικά. καὶ λαμβάνει μὲν ὁ σοφιστὴς ὡς παθητικά. οἴεται δὲ ὁ ὁρωτώμενος ὡς ἐνεργητικὰ χὴ δίδωσιν οὕτως αὐτά, χἀντεῦθεν καὶ ἀπατᾶ. τὸ δὲ, χεδὸν γὸ τοῦτο δυναμένου ποιεῖν ἐγγύς ἐστὶ τοῦ θεωρεῖν τἀληθές. τοιοῦτον ἔχει τὸν νοῦν. ὁ δυνάμενος διαίρεσιν ποιεῖσθαι τοῦ ἐνεργείας καὶ παθους σημαντικῶν, ναὶ μὴν καὶ τῶν ὅσα μὲν διαιρούμενα ἄλλοτι σημαίνει, σὺν τῇ θέμφα δ' ἕτερον. οὐχ ἥκιστα δὲ καὶ τῶν ὁμωνύμων, καὶ συνιεὶς τῶν πολλαχῶς λεγομένων τὸ ὁρωτώμενον, ὁ τοιοῦτος ὡς δυνάμενος πάντων διαίρεσιν ποιεῖσθαι οὐ ῥᾳδίως ἀπατηθήσεται, καὶ μὴ ἀπατώμενος ἐγγύς ἐστὶ τοῦ θεωροῦντος τὸ ἀληθές. μάλιστα δὲ ἐπίσταται σὺν τῷ δύνειν. περὶ δὲ τὸ περὶ τὸ σχῆμα τῆς λέξεως συμβαίνοντος παραλογισμοῦ τὸν λόγον ποιησάμενος, καὶ εἰπὼν ὅτι πάντων δ' ἰ αὐτοῦ γινομένων παραλογισμῶν τὸ ἄπτον ἐστὶ τῆς ἀπάτης, τὸ δυσκολαίνειν ἡμᾶς περὶ τὴν διαίρεσιν ἢ ποῖα μὲν ὡσαύτως καὶ ποῖα ὡς ἑτέρως λέγεται. ἐπὶ περὶ τοῦ αὐτοῦ τούτου διέξεισι. καὶ φησὶ ὅτι μάλιστα δὲ συμβαίνει ἡμᾶς ἀπατᾶσθαι διὰ τὸ οἴεσθαι διὰ τὴν ὁμοιοχημοσῶσιν, τοῦτον εἶναι τὸν τε καθόλου αὐτὸν καὶ τὸν μερικὸν τὸν σωκράτην. ἐπεὶ γὰρ κἀκεῖνος ὁ καθόλου αὐτὸς λέγεται, καὶ οὗτος ὁ μερικὸς αὐτὸς. ἀπατώμεθα διὰ τὸ τῆς λέξεως ὁμοιόσχημον. μάλιστα δὲ φησὶ δύνασθαι συμβαίνειν, ἢ οὕτως. μάλιστα δὲ δύνασθαι τοῦθεν εἰς τὸ σὺν τῷ δύνειν καὶ ὁμολογεῖν τὰς τῶν σοφιστῶν προτάσεις. ὃ πάλιν ταὐτόν ἐστὶ τῷ μάλιστα καὶ ἀπατᾶσθαι συμβαίνει ἡμᾶς διὰ τὸ νομίζειν ὅτι πᾶν τὸ κατηγορούμενον πλῆθος, τὸ δὲ ἓν ἐστὶ, καὶ ἓν καὶ ταυτὸν ὑποκειμένῳ. γίνεται δὲ τοῦτο, διὰ τὸ ἐν ὁμοίῳ σχήματι τῷ αὐτῷ τῷ ἑνικῷ ἀμφότερα τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον σημαίνεσθαι. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές, ὡς ἐν ταῖς κατηγορίαις εἴρηται. τῷ μὲν ἑνὶ καὶ τῇ πρώτῃ οὐσίᾳ, τὸ δὲ παρομοιοῦται. ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν. σὺν δὲ τῶν δ' ὄντων, φαίνεται μὲν ὅσον τῷ σχήματι τῆς προσηγορίας, ὅτι τόδε τι σημαίνει ὅταν εἰπωμεν αὐτόν. πρόθεν οὖν γίνεται ἡ ἀπάτη, ἢ ὡς καὶ αὐθωτεῖρηται. διὰ τὸ αὐτόμαλον τῆς συνηθείας, ἥτις καὶ τὰ αὐτόμοια πράγματα ὁμοίοις σχήμασι λέξεων εἰώθει πολλάκις σημαίνειν. καὶ γὰρ ὅταν εἴπωμεν αὐτόν, πιθανὸν φαντασθῆναι ἐμποιεῖ. ὡς ἆρα ὁ αὐτὸς ὅμοιος ἐστὶ τῷ σωκράτει. καὶ εἰς ἀριθμῷ, ἐπειδὴ καὶ ἐστὶν εἷς. τὸ δὲ τὸ γὸ ἐνὶ καὶ τῇ οὐσίᾳ μάλιστα δὲ

κεῖ παρέπεται αὐτῷ, τόδε τι ἐν καὶ οὐσίαν, τὰς ἀτόμους λέγουσας. οἱ γὰρ σωκράτην καὶ τὰς τοιούτους, ὡς οὖν ἔστι τούτων διὰ τὸ ὁμοίως σχήματι τῆς προσηγορίας σημαίνεσθαι τῷ ἑνικῷ, καὶ γὰρ ὁ σωκράτης αὐτός, καὶ ὁ αὐτὸς ὁμοίως αὐτός, ἀλλ' οὐκ αὐτοὶ πανθυντικῶς. ὡς οὖν ἔστι τούτων διὰ τὸ ἐν ὁμοίῳ σχήματι σημαίνεσθαι, φαντασθῆναι ἐμποιεῖ ὅτι καθόλου αὐτός ὁμοιός ἐστὶ τῷ σωκράτει καὶ εἷς ἀριθμῷ. οὕτω καὶ ἔστι τῶν ἄλλων συμβαίνει γίνεσθαι τὸ περὶ τὴν ὁμοιότητα τῆς λέξεως γινομένων παραλογισμῶν. οἶμαι δὲ μὴ ἔστι πάντων ἁπλῶς τὸ περὶ τὴν ὁμοιότητα τῆς λέξεως εἰπεῖν τοῦτο. ἀλλ' ἐπ' ἐκείνων μόνων, ἐφ' ὧν διὰ τὴν ὁμοιότητα τὰς καθόλου οὐσίας τὰς αὐτὰς εἶναι τῷ ἀριθμῷ ταῖς μερικαῖς σῳζόμενον πειρῶνται. διὰ τοῦτο γὰρ εἶπε. διὸ καὶ τῶν περὶ τὴν λέξιν οὕτος ὁ τρόπος θετέος, ὁ τὸ καθόλου ἐν τῷ μερικῷ ταυτὸν σῳζόμενον διὰ τὴν τῆς λέξεως ὁμοιότητα. ὡς εἰ ἔλεγεν οὐ μόνον τοὺς ἤδη ῥηθέντας, ἀλλὰ καὶ τοὺς τὰ καθόλου τοῖς μερικοῖς τὰ αὐτὰ σῳζόμενα, διὰ τὴν τῆς λέξεως ὁμοιότητα ταῖς περὶ τὴν λέξιν ἀπατώμενους σῳζάτειν. εἰπὼν δὲ ὅτι καὶ τοῦτον τὸν τρόπον ἐν τοῖς περὶ τὴν λέξιν θεωρεῖν. τοῦτον δ' ὑφ' ἕνα ἐπήγαγε, μίαν μὲν λέγων ὅτι μᾶλλον ἢ ἀπατᾶται γίνεται μετ' ἄλλων σκοπούμενον. ἐκεῖνοι δὲ πρὸς τοὺς λόγους καὶ τὰ ὀνόματα, χὴ οὐχὶ πρὸς τὰ πράγματα τὰς ὁρωτήσεις ποιοῦνται. τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὅταν μὲν καθ' ἑαυτὸ σκεπτώμεθα περὶ τινος πράγματος, οὐχὶ πρὸς τὰ ὀνόματα χὴ τοὺς λόγους τὴν σκέψιν ποιούμεθα. ἀλλὰ πρὸς τὸ πρᾶγμα. καὶ διὰ τοῦτο ἥκιστα συμβαίνει ἡμᾶς ἀπατᾶσθαι. ὅταν δὲ μετ' ἄλλων περί τινος σκεπτώμεθα. πρὸς τοὔνομα χὴ τοὺς λόγους τὰς σκέψεις ποιούμεθα ἐνοῖς χὴ ἃ ἀπατᾶται ἔστ' ἄλλου μὲν ἢ τὸ ἢ ὀνόματος ἢ ἢ λόγου δηλουμένων, ἢ ὁρωτωμένῳ τὴν ἀπόκρισιν διδόντος. ἐπ' ἄλλου δὲ ἢ συλλογιζομένου λαμβάνοντος. διὰ μίαν μὲν οὖν ταύτην αἰτίαν καλῶς ἔχει ἐν τοῖς περὶ τὴν λέξιν παραλογισμοῖς χὴ τοῦτον τάττειν. δι' ἑτέραν δὲ, ὅτι ἡ ἀπάτη ἢ, τὸν καθόλου αὐτὸν τῷ σωκράτει ταυτὸν σῳζάγεσθαι ἐκ τῆς ὁμοιότητος γίνεται. ἡ δὲ ὁμοιότης περὶ τὴν λέξιν. ὡς τε εἰκότως γὰρ τοῖς περὶ τὴν λέξιν χὴ κατὰ τοῦτο ἀπαχθήσεται. ἐπὰν δὲ ὅποταν καθ' ἑαυτοὺς σκεπτώμεθα, ἤπου συμβαίνει ἀπατᾶσθαι. διότι οὐ διὰ λόγων καὶ ὀνομάτ', ἀλλὰ διὰ αὐτῶν ἢ πραγμάτ' τὴν σκέψιν ποιούμεθα, ἐπήνεγκεν ὅτι χὴ καθ' ἑαυτοὺς ποιουμένοις τὴν σκέψιν, οὐδὲν κωλύει ἀπατηθῆναι, ὅταν μὴ ἔστι ἢ πράγματος ἀλλ' ἔστι ἢ λόγου τὴν σκέψιν ποιώμεθα. τῶν δὲ περὶ τὸ συμβεβηκὸς διὰ τὸ μὴ δύνασθαι. εἶπερ περὶ ἢ παρὰ τὴν λέξιν παραλογισμῶν, καὶ τὰς ἀπάτας παραβέβηκος καθ' ἃς ἀπατώμεθα ἐν ἑνὶ ἑκάστῳ τῶν ἐξ. νῦν καὶ περὶ τῶν ἐκτὸς τῆς λέξεως ἐστὶ παραλογισμῶν, πῶς συμβαίνει ἡμᾶς καὶ ἀπὸ τούτων ἀπατᾶσθαι διέξεισι. χὴ φησὶ ἀπάτας περὶ τῶν περὶ τὸ συμβεβηκὸς παραλογισμῶν τὸ μὴ δύνασθαι κρίνειν τὸ ταυτὸν καὶ τὸ ἕτερον καὶ ἐν καὶ πολλά. καὶ εἴρηται περὶ τούτων ἐν τῷ πρόσθεν τῶν ἐκτὸς τῆς λέξεως. ἐκεῖνος γὰρ ἦν ὁ περὶ τὸ συμβεβηκὸς. ὅπως τὸ ἕτερον ὡς ταυτὸν. καὶ τὰ πολλὰ ὡς ἓν σημαίνειν ἐπερωῶντο οἱ σοφισταί. καὶ οὐδὲν

πάλιν τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν. τὸ δὲ μὴ δεῖ τοῖς ἡθικοῖς τῶν κατηγορημάτων ταῦτα καὶ τῷ πράγματι συμβέβηκεν. ἴσον ἐστὶ τῷ ἡθικοῖς τὰ κατηγορουμένῳ ταῦτα καὶ τοῖς ὑποκειμένοις συμβεβηκέναι. ὡς ἂν τοιοῦτος ὁ λεγόμενος, ἐν τοῖς περὶ τὸ συμβεβηκὸς παραλογισμοῖς γίνεται ἡ ἀναίρεσις περὶ τὸ μὴ δύνασθαι διαιρεῖν τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ ἐν καὶ πολλά, καὶ περὶ τὸ μὴ δύνασθαι διακρίνειν ποῖα τῶν κατηγορουμένων ταῦτα ὅτι κατ' αὐτῶν λέγεται. δύναται καὶ κατὰ τὸ ὑποκείμενον λέγεσθαι. ἐπεὶ δὲ ὡς ὁ ἔλεγχος παρὰ τὸ συμβεβηκὸς οἱ περὶ τὸ ἐνδεχόμενον, ὁμοίως ἔχει καὶ ἔοικε περὶ τὸ ἐνδεχόμενον παραλογισμῶν. ὡς γὰρ ἐν τῷ περὶ τὸ συμβεβηκὸς ἀναλυόμενα. οὕτω καὶ ἐν τῷ περὶ τὸ ἐνδεχόμενον. τὸ δὲ, ἔτι καὶ οὐ πολλῶν φαίνεται καὶ ἀξιοῦται οὕτως, δυνάμει τοιοῦτόν ἐστίν. ἐπεὶ γὰρ ἔοικε πυῶν αἱ πυρέφει τὰ ὑποκείμενα πρὸς τὰ ἐνδεχόμενα, ὡς ὁ αὐτὸς πρὸς τὸ γελαστικὸν, καὶ ὁ ἵππος πρὸς τὸ χρεμετιστικὸν, καὶ ἔοικε ἄλλων πολλῶν τοῦτο ἀξιοῦται. ἵνα εἰ ἔστιν τὸ λευκὸν τῇ χιόνι, αἱ πυρέφει καὶ ἡ χιὼν πρὸς τὸ λευκὸν. καὶ εἰ τὸ ξανθὸν τῷ μέλιτι, καὶ τὸ μέλι πρὸς τὸ ξανθὸν. καὶ εἰ τὸ γεγονὸς ἀρχὴν ἔχει, καὶ τὸ ἀρχὴν ἔχον γεγονέναι. ἔοικε δὲ τὸ περὶ τὴν ἔλλειψιν τοῦ λόγου καὶ ἐν τῷ περὶ τὸ ὡς καὶ ἁπλῶς παραλογισμῷ ἡ ἀναίρεσις γίνεται, διὰ νομίζειν μηδὲν διαφέρειν ἁπλῶς τι συγχωρεῖν ἢ ὡς. ὡς γὰρ ὁ ὁμοίως μηδέν τι μᾶλλον σημαίνει τοῦ ὡς τὸ ἁπλῶς, διὸ ὁμοίως καὶ ἀναιρούμεθα. ὡς ἔοικε δὲ δῆλον. ὅρα τε τὸ ἀποβαλεῖν ὅπερ ἔχει τις, οὐ κακόν ἐστιν. ἀλλὰ μὴν ἔχει τις νόσον. τὸ ἀποβαλεῖν ἄρα νόσον, κακόν ἐστιν. ἡ ἀναίρεσις ἐν ταύτῃ γέγονε περὶ τὸ ὡς. οὐ γὰρ εἰ κακόν ἐστι τὸ ἀποβαλεῖν τινά. ὧν ἔχει τι, καὶ ἁπλῶς ἐστὶ κακῶν. ἀλλὰ καὶ ἔοικε, τὸ ἐν ἀρχῇ ἢ τοὐναντίον καὶ τὰ τελεῖα ὁρώμενα ἐν γενομένων, ἢ ἀναίρεσις γίνεται, διὰ τὸ περὶ μακρόν. οὐ γὰρ ἐξακριβούμεθα τὸν τῆς προτάσεως λόγον, λέγοντα προτάσιν εἶναι τὴν ἐν καθ' ἑνὸς ἔχουσαν. οὔτε τὸν τοῦ συλλογισμοῦ ὅρον τὸν λέγοντα, ἕτερόν τι δεῖν τῶν κειμένων εἶναι, καὶ τοῦτο δεῖ ἀναλαμβάνομεν. οὐκ ἐξακριβούμεθα δὲ ταῦτα διὰ τὴν εἰρημένην αἰτίαν, ἥτις ἐστὶ περὶ τὸ μακρόν, ἢ εἰ θέλεις νόσον εἰρημένην αἰτίαν, καὶ τὸ μὴ εἰδέναι τὸν τῆς προτάσεως λόγον καὶ τοῦ συλλογισμοῦ. ἔοικε δὲ ἔχομεν παρόντα γίνονται οἱ φαινόμενοι συλλογισμοὶ, ἔχομεν καὶ. ἐπειδὴ φαινόμενος συλλογισμὸς καὶ σοφιστικὸς συλλογισμός ἐστιν, ὡς ἐν ἀρχῇ τοῦ παρόντος βιβλίου δέδεκται. ἔχομεν δὲ παρόντα οἱ φαινόμενοι συλλογισμοὶ γίνονται. ταῦτα δ' ἐστὶν οἱ εἰρημένοι δεκατρεῖς τρόποι. δῆλον ὡς ἔχομεν καὶ παρόντα γίνονται οἱ σοφιστικοὶ συλλογισμοί. παρόντα γὰρ οἱ φαινόμενοι, παρὰ τοσαῦτα καὶ οἱ σοφιστικοί. περὶ δὲ τοὺς εἰρημένους τρόπους οἱ φαινόμενοι, περὶ τούτους ἄρα οἱ σοφιστικοί. τὸ δὲ παρόντα γίνονται οἱ φαινόμενοι, ἴσον ἐστὶ τῷ δι' ὅσα. δι' ὅσους γὰρ τρόπους καὶ δι' ὅσας αἰτίας οἱ φαινόμενοι, διὰ τοσούτους οἱ σοφιστικοί. ἐπειδὴ δὲ ὅτι παρόντα γίνονται οἱ φαινόμενοι, παρὰ τοσαῦτα οἱ σοφιστικοί. λέγει ὅτι οὐ μόνον τὸν φαινόμενον συλλογισμὸν, οὗτος δὲ ἐστὶν ὁ μὴ τὸ σχῆμα ἔχων ὑγιὲς ὡς καὶ ἐν ἀρχῇ τῆς βιβλίου εἴρηται. οἷος ὁ ἐκ δύο καταφατικῶν

ἐν β σχήματι, ἢ ὁ ἐκ δύο μερικῶν ἐν τῷ τρίτῳ σχήματι. πειρώμεθα δὲ καὶ ἐπὶ τούτων ἁπάντων ὁμοίως φησὶ τὸν φαινόμενον συλλογισμὸν γίνεσθαι περὶ τοὺς εἰρημένους τρόπους ἀλλὰ καὶ τὸν ὄντα μὲν φαινόμενον δὲ οἰκεῖον τοῦ πράγματος, μὴ ὄντα δὲ οἰκεῖον. τοῦτο γὰρ δεῖ προσυπακούειν. οὗτος δέ ἐστιν ὁ ὑγιῶς μὲν συλλογιζόμενος, μὴ κατὰ τὸ πρᾶγμα δὲ. ὁ πρὸς οὐ τὸ σοφιστικοῦ λέγει εἶναι. ἄλλα τῆς πειραστικῆς, οἱ γὰρ πειραστικοὶ πρὸς ὠφέλειαν τοῦ προτιθεμένου τὸ πρᾶγμα εἰδέναι, μὴ εἰδότος δὲ, τοὺς λόγους ποιούμενοι, ἐλέγχοι μὲν ὄντες ἀποκρινομένου, καὶ εἰς ἀπόφασεις συμβαλλόμενον αὐτὸν, ἀπ' οὐκ ἐκ τοῦ οἰκείου τῷ πράγματι περὶ οὗ τοὺς λόγους ποιοῦνται, ἀπ' ἐκείνων δ' ὁκοῦντος μὲν οἰκείου εἶναι τοῦ πράγματος, μὴ ὄντων δέ. διὰ τοῦτο γὰρ μὴ κατὰ τὸ πρᾶγμα ἐλέγχειν οἱ τοιοῦτοι λέγονται. ὅτι τὰς μὲν ἀρχὰς φυλάττουσι τοῦ πράγματος, παραλογίζονται δὲ τὸν ἀκροατὴν μεταξύ πως παρατιθέντες δι' οὗ γίνεται ὁ παραλογισμός. τῷ γὰρ καὶ τὰ μακρὰ γράφειν μὴ ὡς δεῖ, ὡς ἐν τῷ α τοπικῶν εἴρηται, καὶ γραμμὰς τινὰς ἄγειν μὴ ὡς αἱ ἀχθεῖεν, ὁ παραλογισμὸς γίνεται, καὶ δοκεῖ μὲν ἐκ τοῦ οἰκείου τοῦ πράγματος εἶναι. οὐκ ἔστι δέ. ἔστι καὶ τὴν αὐτὴν πίστιν τοῦ πῶς ὁ πειραστικὸς δύναται ἐλέγχειν τὸν προτιθέμενον εἰδέναι, καὶ μὴ εἰδότα λέγων. ἔστι δὴ πειραστικὴ μέρος τῆς διαλεκτικῆς. εἰσὶν δὴ πειραστικὴ διαλεκτικὴ δύναμις τοῦ πάντα συλλογίζεσθαι ἐξ ὧν ἀγνοεῖ ἁπλῶς ὁ διδόντος, συλλογίζεται καὶ τὸ μόριον αὐτῆς τοιοῦτον. πῶς δὲ ἔστιν ἡ πειραστικὴ μόριον τῆς διαλεκτικῆς προτέρων ὁρίζει, καὶ ἡμῖν τὰ δοκοῦντα ἐκεῖσε ὁρίσωμεν. ἀνὴ μὲν διαλεκτικὸς καὶ πειραστικὸς δῆλον ποιοῦσιν τὸν ἀποκρινόμενον ὡς ἀγνοεῖ, διὰ τὸ τὰ συμπεράσματα εἶναι ἐκ τοῦ δοκοῦντος καὶ συγκεχωρημένων τῷ ἀποκρινομένῳ. ἐχόμεθα δὲ τοῦτ. πολλὴν ἀφορμὴν, ὡς ἐν τῷ προτρεπτικῷ καὶ γραφικῇ καὶ τοῖς ἄλλοις διαλόγοις τὰ πάντων, ἐν οἷς μάλιστα τὸ σοφιστῶν ἀγωνίζεται. ὁ δὲ σοφιστικὸς οὐ συλλογίζηται τὴν αὐτὴν φασιν, οὐ ποιεῖ δῆλον εἰ ἀγνοεῖ ὁ ἀποκρινόμενος. ὁμωνύμως γὰρ καὶ ἀμφίβολον, καὶ οἷα πολλάκις φέρεται τὰ ὁρώτημα προφόρητος. τῆς οἱ δὲ τῶν ἀκροωμένων πρὸς τινα τοῦτο τοῦτων τὸ ὁρώτημα συμαινομένων, ὁ μὲν ὁρωτᾶ. ὁ δὲ ἀποκρίνεται. καὶ γὰρ τύχῃ ὁ ἀκροατὴς εἰδὼς ἁπλῶς τὸ ὁρώτημα λέγεται, ὅμως ἐμποδίζεται διακρίναι εἰ ἐλήλεκται ὁ ἀποκρινόμενος. ἔοικε γὰρ ἄρα ἐστὶ σῴζων τὰ λέγειν. τῆς οἱ δὲ τῶν ἀκροωμένων, πρὸς τινῶν τὸ σῴζον τὸ πῶς ὁρώτησις καὶ ἀπόκρισις γένηται. ἵνα διακρίνει τὸν ἀποκρινόμενον εἰ ἀγνοεῖ. ἢ μὴ. ὁμώνυμον, γὰρ ὁρότων τῶν σοφιστῶν καὶ ἀμφίβολον, οὐδὲν οἱ δὲν εἰ τὴν αὐτὴν φασιν σῴναγουσι τὸ πρὸς τι πρὸς τὸ προσδιαλεγόμενον, ἢ ὅλως εἰ ἀγνοεῖ πρὸς διαλεγόμενος αὐτὸ ἀμφίβολον ἐστὶ τὸ ὁρώτωμενον ἢ ὁμώνυμον, ἢ μὴ καλῶς σῴπεθεὶν ἢ διαιρεθέν. εἰ γὰρ τις ὁρωτηθείη πρὸς σοφιστοῦ. ἆρα τὸ κύων καὶ μαπα ποιεῖ. ὁ δὲ φαίη, οὐ. διὰ τὸ μὴ τὸν χερσαῖον κύνα μὴ ποιεῖν καὶ μάπα, καὶ ἐμπροσθίζεται ὁ ἀκροατὴς ἐλλείπειν τὸν χερσαῖον κύνα μὴ ποιεῖν καὶ μάπα. ὅσον γὰρ ἔοικε τοῦτο τῷ χερσαίῳ φημὶ κυνὶ ἐλλείπειν ὁ ἀποκρινόμενος καὶ οὐκ ἐλήλεκται. ὅτι δὲ ἔχομεν αὐτοὺς τῇ αὐτῇ μέν

θόδῳ δῆλον. Ἐπεὶ οὖν ὅπερ ἔχομεν παρ' ὅσα οἱ σοφιστικοὶ γέγονται ἀπὸ συλλογισμοί, διὰ τὸ ἔχειν ὑμᾶς παρ' ὅσα γίνονται οἱ φαινόμενοι, καὶ μᾶλλον εὐπορεῖς τὰ εἰρημένα. πάλιν ἐπαναφέρουσιν αὖ τὸ προκείμενον, καὶ κατασκευάζει τοῦτον λόγον τῶν ἀνυποφόρων λέγων. παρὸ σα γὰρ αἱ τῶν μὴ καλῶς ἐρωτημένων φαίνεται τοῖς ἀκροωμένοις ὡς καλῶς ἐρωτημένα, παρὰ τοσαῦτα αὖ καὶ τῷ ἀποκριναμένῳ δόξει καλῶς εἰρῆσθαι. ἀναπείσεται δὲ ὁ ἀκροατὴς ἢ διὰ τὴν ὁμωνυμίαν, ἢ διὰ τὸ σχῆμα τῆς λέξεως, ἢ διὰ τοῦτων, καὶ ὁ ἀποκρινόμενος ἄρα κατὰ πάντων παραλογισθήσεται ὡς πεπεισόμενος συλλογισμοὶ φαύλοις, διὰ τὸ ἀπορίμμενον τρόπων ἢ πάντων συνελθόντων εἰς τὸ ἀναπεῖσαι τινα, ἢ τινῶν. ἐπεὶ οὖν δὲ παρὰ τοσαῦτα αὖ καὶ τῷ ἀποκριναμένῳ δόξειεν ἐπάγειν. ὃν μὴ ἐρωτηθεὶς οἴεται δεδωκέναι, καὶ ἐρωτηθεὶς θεῖ, τοῦτ' ἔστιν ὃ πρὸς ἐν τῇ οἰκείᾳ διανοίᾳ καλῶς ἐρωτᾶσθαι ἐνόμισε καὶ ὡς ἀληθῆ συνέδυσε, καὶ ἠρώτηκεν, ἐδεδώκει αὖ. πλὴν φανερὸν ἐπαίτιον, οἷον ἐν τοῖς πρὸς τὴν λέξιν καὶ τὸν σολοικισμὸν, οὐκ ἀφωνοι διατελοῦσιν οἱ ἀποκριναίμενοι τὸν λόγον συμβαλόντες τοῦ σοφιστοῦ, ἀλλὰ πρὸς ὄρωτᾶσιν τὸ ἐνδεχές, καὶ τὸ φαῦλος ἐμφανίζουσιν. ἐπεὶ τοῦ τοῦ σοφιστοῦ, ὁ δεῖνα καθῆται. ὁ καθήμενος δύναται βαδίζειν, καὶ ἐπαγαγόντος ὅτι ὁ δεῖνα βαδίζει. δύο δὲ οὐ μακρὸν δυνάμενος σιωπᾶν, προσεπερωτήσαι τὸ ἐνδεχές, τὸ, δύναται, καὶ ἐμφανίζει τὸ φαῦλος. πάλιν λέγοντος τοῦ σοφιστοῦ. ἆρ' ὁ φὼς τουτί ἐστί. φὼς δὲ λίθου εἶναι. ἐστὶν ἄρα λίθος. οὐκ ἄφωνοι διατελοῦσιν οἱ ἀποκριναίμενοι. ἀλλὰ φαῦλον. οὐχί. ἀνάγκη ἐστὶν ἄρα λίθος. ἀλλὰ πρὸς μὲν τούτων σαφὲς γενέσθαι τὸ λεγόμενον, ὅταν τὰς λύσεις τῶν σοφισμάτων καὶ αὐτὸς ἐπαγάγῃ. νῦν δὲ τῷ μικρῷ πρόσθεν εἰρημένον, τὸ ὅπῃ πειραστικὴ μέρος ἐστὶ τῆς διαλεκτικῆς ἐπισκοπῶ. λέγεται τοίνυν ὑπὸ τὴν διαλεκτικὴν δύναμιν πειραστικὴ, διότι καὶ αὐτὴ φαῦλος δύναται συλλογίζεσθαι διὰ τὴν ἀγνοιαν, ὡς πρὸς διαλεκτικὴ· διαφέρουσι δὲ ἀμφότεραι τῆς σοφιστικῆς. ὅπαι μὲν δῆλον ποιοῦσιν, ὅτι τὴν αὐτὴν φασιν συλλογίζονται τῆς ἀποκριναμένου θέσεως. οὐ γὰρ ὄρωτῶσιν ἀμφίβολα καὶ ὁμώνυμα, καὶ τοιαῦτα τυγχάνοι δὲ σοφισταὶ αὖ καὶ συλλογίζονται πρὸς τὴν αὐτὴν φασιν οὐ πρὸς οἱ ἀγνοεῖ ὁ πρὸς διαλεγόμενος. ὁμώνυμον γὰρ ὄρωτῶν καὶ διὰ πολλὰκις εἴρηται, οὐδεὶς οἱ δὲν εἰ τὴν αὐτὴν φασιν σῴζουσι τοῦ πράγματος πρὸς τοῦ πρὸς διαλεγομένου, ἢ ὅλως, εἰ ἀγνοεῖ ὁ πρὸς διαλεγόμενος, ἀμφίβολον ἐστὶ τὸ ἠρωτημένον ἢ ὁμώνυμον ἢ ἄλλο τι. εἰ οὖν οἱ παραλογισμοὶ τῆς αὐτὴν φασεως πρὸς τὸν φαινόμενον ἔλεγχον εἰσὶν. εἰ ἄρα ὅτι παρ' ὅσα εἰσὶν οἱ φαινόμενοι συλλογισμοὶ πρὸς τοσαῦτα καὶ οἱ σοφιστικοὶ δείκνυσιν ὅτι καὶ οἱ φαῦλοι πρὸς τοσούτους γίνονται τρόπους, παρ' ὅσους οἱ φαινόμενοι καὶ οἱ σοφιστικοί. εἰ γὰρ φαῦλος συλλογισμὸς ὁ πρὸς τὸν ἀληθινὸν συλλογισμὸς ἐστί, δῆλον ὅτι ὅσα μέρια εἰσὶ τοῦ ἀληθινοῦ συλλογισμοῦ, πρὸς τοσαῦτα ἔσονται οἱ φαῦλοι. τοῦ δὲ ἀληθινοῦ συλλογισμοῦ μέρια εἰσὶν, τὸ αὐτοῦ καὶ ἑνὸς πράγματος εἶναι, καὶ πρὸς τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ, καὶ ὅσα πολλάκις εἴρηται. φαῦλος ἔσται ἄρα,

ὅταν μὴ πρὸς τὸ αὐτὸ, μὴ δὲ κατὰ τὸ αὐτὸ λέγηται τὰ ὅμοια γένηται. ἐπεὶ δὲ ὁ φαῦλος πρὸς τὰ μέρια τοῦ ἀληθινοῦ γίνεται. ἐλλείποντος γάρ τινος μορίου τῶν τοῦ ἀληθινοῦ συλλογισμοῦ σοφιστικὸς φανεὶς αὖ ἔλεγχος. σώζεσθαι τοῦτο διὰ τῆς εἰσαγωγῆς λέγων, οἷον ὁ πρὸς τὸ μὴ συμβαῖνον διὰ τὸν λόγον, καὶ ὅτις τὸ ἀδύνατον. τὸ δὲ λεγόμενον ἐστὶ δυνάμει τοιοῦτον. ἐπεὶ συλλογισμός ἐστι λόγος συναγόντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐκ τῶν κειμένων. ὁ μὲν ἄπιον ὡς ἄπιον ἢ σῶν μέρους ἀδύνατον λαβεῖν. δῆλον ὅτι παρὰ τὸ μόριον τοῦ συλλογισμοῦ τὸ φαῦλος συνάγειν. ἔστι δὲ τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον. ὁ εἰς τὸ ἀδύνατον δοκοῦν ἄγειν τὸν λόγον. γίνεται πρὸς τὸ μὴ συμβαῖνον διὰ τὸν λόγον, ἢ πρὸς τὸ μὴ ἄπιον ὡς ἄπιον λαβεῖν. ὁμοίως δὲ καὶ ὁ τὰς δύο ὄρωτήσεις μίαν ποιῶν, πρὸς τὸν ὁρισμὸν τῆς προτάσεως τὸ φαῦλος συνάγει. καὶ ὁ ἀπὸ τοῦ συμβεβηκότος φαῦλος πρὸς τὸ μόριον τοῦ ἀληθινοῦ συλλογισμοῦ τοῦτο συλλογίζεται, ἐκ τοῦ καθόλου τὸ ὑπάρχον τῷ ἀληθινῷ συλλογισμῷ, ἀπὸ οὐκ ἀπὸ συμβεβηκότων. ἀπὸ μὲν καὶ ὁ παρὰ τὸ ἑπόμενον ὡς πρὸς μόριον ἐστὶ πρὸς τὸ συμβεβηκός ὡς δέδεικται, διὰ τὴν αὐτὴν αἰτίαν γίνεται. ἐπὶ τὸ μὴ ἅπαν τοῦ πράγματος. καὶ ὁ πρὸς τὴν ἀμφιβολίαν τρόπος σοφιστικός. τοῦτον γὰρ δῆλοι λέγων, τὸ μὴ ἅπαν τοῦ πράγματος, ἀνὴ ἅπαν τοῦ λόγου συμβαίνει. διότι τὸ ἐστὶν ἅπασιγῶντα λέγειν, οὐκ ἅπαν τοῦ πράγματος, ἀνὴ ἅπαν τοῦ λόγου συμβαίνει, καὶ οὕτος δῆλον ὅτι πρὸς τὸ μόριον ἐστὶν τοῦ ἀληθινοῦ λόγου. καὶ ὁ πρὸς τὸ πῶς καὶ ἁπλῶς, πρὸς τὸ μόριον ἐστὶν τοῦ ἐλέγχου. τοῦτο γὰρ σημαίνει, διὰ τοῦ, εἶτ' αὐτὴ τοῦ καθόλου τὴν αὐτὴν φασιν. καὶ τὸ μὲν καθόλου τέθεικεν αὐτὴ τοῦ ἁπλῶς. τὴν αὐτὴν φασιν δέ, αὐτὴ τοῦ πῶς. δόξαν γὰρ ἡμῶν ἁπλῶς ὅπου ὁ αἰθίοψ μέλας· σώζεται δὲ ὅτι ἡμῖς ὁδόντας λευκοὺς ἢ ποι πῶς λευκούς· ἢ πάλιν λεγόντων, οὐδεὶς ἐπιορκῶν ἅμα δύορκεῖ, ἐπιφέρει ὁμόσας τὸν ἐπιορκίζειν ἐπιώρκει· ἅμα ἄρα ἐπιορκεῖ καὶ δύορκεῖ. ὅτι δὲ καὶ οἱ μὴ κατὰ τὸν καὶ πρὸς τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ, καὶ πρὸς τὸ αὐτὸ καὶ παρὰ τὸ ἐπί τι, πρὸς τὰ μόρια ἢ τοῦ ἀληθινοῦ λόγου πάντῃ δῆλον, καὶ εἴρηται πολλάκις, καὶ οὐ δεῖ πάλιν μηκύνειν. ἔτι πρὸς τὸ μὴ ἐν ἀρχῇ μὴ ἐναριθμουμένου. τὸ ἐν ἀρχῇ λαμβάνειν ὅτι παρὰ τὸ μόριον ἐστὶ τοῦ ἀληθινοῦ συλλογισμοῦ, καὶ διὰ ἔλειψιν τοῦ ἀληθοῦς γίνεται ἔλεγχος, πολλαχῶς εἰρηται. οὕτως οὖν εἴρας διὰ τῆς ἐπαγωγῆς ὅτι πρὸς τὰ μόρια τοῦ ἀληθινοῦ συλλογισμοῦ τὸ φαῦλος καὶ οἱ φαινόμενοι ἔλεγχοι γίνονται. συμβαίνει τὰ λεγόμενα, ὡς πρὸς ἔχομεν παρ' ὅσα γίνονται οἱ παραλογισμοί. πρὸς πλείονα μὲν γὰρ τῶν τρόπων τουτῶν οὐδεὶς αὖ γένοιτο. πρὸς δὲ τὰ εἰρημένα ἔσονται πάντα. ἔστι δὲ σοφιστικὸς ἔλεγχος. τὸν σοφιστικοὺς ἁπάντας καὶ φαινομένους συλλογισμοὺς, ἀπαγαγὼν εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. ἐπὶ γε μὴν διὰ ἀξίας ὡς οἱ σοφιστικοὶ ἔλεγχοι, διὰ ἔλλειψιν κυρίως καὶ ἀληθοῦς ἐλέγχου γίνονται, καὶ διὰ τῆς ἐπαγωγῆς τὸ λεγόμενον πιστωσάμενος, ἐφιστάνει λέγων, ὅπου σοφιστικὸς ἔλεγχος, οὐκ ἁπλῶς ἐστὶν ἔλεγχος, ἀπὸ πρὸς τὸν ἀποκρινόμενον δὲ κεῖται ἔλεγχος. δ μὲν γὰρ τύχῃ οὕτως ἔχουσι ἀμαθῶν συγχωρήσαντες τὰ λεγόμενα διαδ' αὖ ὧδε καὶ ἀ

(πατηθή-

σεται, καὶ δοκήσει ἐλεγχεῖναι. εἰ μέν τοι τῶν συνιέντων τίς εἴη, οὐκ εὐθὺς ὁμολογή-
σει τὰ ὀρωτώμενα, κἀντεῦθεν ἐπίσχει καὶ τὸν δοκοῦντα ἐλέγχειν καὶ συλ-
λογίζεσθαι. ὡσαύτως δὲ καὶ ὁ σοφιστικὸς συλλογισμὸς οὐχ ἁπλῶς ἐστὶ συλλο-
γισμὸς, ἀλλὰ πρός τινα. ἤγουν τὸν ἀγνοοῦντα τὰς δυνάμεις τῶν λέξεων. καὶ
πρὸς τὸν συγχωροῦντα τὸ μὴ ἁπλῶς λεγόμενον, ὡς ἁπλῶς λέγεσθαι. καὶ τὰ λοι-
πὰ πάντα. ὅτι δὲ πρός τινα ἐστὶν ὁ σοφιστικὸς ἔλεγχος κατασκευάζει ἀπὸ τοῦ
μὴ δύνασθαι τὸν σοφιστὴν ποιῆσαι τὸν ἔλεγχον, ἐὰν μὴ λάβῃ πρὸς τῶν ἀποκρινομέ-
νου τὸ ὁμώνυμον ὡς ἓν σημαίνει. ὁμοίως καὶ ὁ παρὰ τὴν ὁμοιοσχημοσύνην συλλο-
γισμὸς ἐὰν μὴ λάβῃ τῶν ἀποκρινομένου τὸ σημαίνειν τὸ ὀρωτώμενον πρᾶγμα,
τὸ μόνον τὸ δέ τι. ἤγουν τὸ ἐνεργητικὸν ῥῆμα ἐνεργείας μόνης δηλωτικὸν, οὐχ
οὗτος ἀπατήσει. εἰ μὲν μὴ λάβῃ ὁ σοφιστὴς, οὔτε ἁπλῶς συλλογισμὸν ποιεῖ, οὔτε
πρὸς τὸν ὀρωτώμενον. ἐὰν δὲ λάβῃ τὸ ὁμώνυμον ὡς μὴ ὁμώνυμον, πρὸς μὲν τὸν
ὀρωτώμενον πεποίηκε τὸν ἔλεγχον. ἀληθῶς δὲ καὶ κυρίως ἔλεγχον οὐ πεποίη-
κε. διότι οὐχ ἓν εἴληφε τουτέστιν μὴ ὁμώνυμον, ἀλλὰ φαινόμενον, καὶ πρὸς ἀνεπι-
στήμονος ἀκροατοῦ, ὥστε οὐχ ἁπλῶς ἐστὶν ἔλεγχος ὁ σοφιστικὸς ἔλεγχος, ἀλλὰ
πρός τινα. πρὸς πόσα δὲ ἐλέγχονται οἱ ἐλεγχόμενοι. παρόσα μὲν φησὶ φαι-
νομένως ἐλέγχεσθαι τινὲς δοκοῦσιν, εἴρηται καὶ ὡρίσθησαν οἱ φαινόμενοι ἔλεγ-
χοι, καὶ δέκα καὶ τρεῖς ἢ οἱ πάντες. ὧν πάντες ἢ ἐνίων παραλαμβανομένων ὁ πα-
ραλογισμὸς καὶ ὁ φαινόμενος ἔλεγχος γίνεται. παρόσα δὲ ἀληθῶς ἐλέγχονται
οἱ ἐλεγχόμενοι, οὐδεὶς ἀριθμῆσαι ἢ παραδοῦναι δύναται. οὐδὲ εἰς ἀριθμὸν τινὰ
θεῖναι ὡρισμένον τοὺς τρόπους. δι' ὧν ἐλέγχονται οἱ ἀληθῶς ἐλεγχόμενοι. ὅσα
γὰρ ἀποδείξεις, τοσοῦτοι δύναται καὶ ἔλεγχοι γίνεσθαι πρὸς τοὺς μὴ τιθεμένους
τὸ συναχθὲν ἐκ τῶν δοθέντων συμπέρασμα, λαβοῦσι τὴν ἀντίφασιν. οὐδεὶ οὖν φησὶ
πειρᾶσθαι λαμβάνειν δι' ὅσων καὶ οἵων τοὺς ἀληθεῖς ἐλέγχους ποιοῦσιν οἱ ἀληθι-
νῶς ἐλέγχοντες. εἰ μήτης εἴη, τὰς ἀπιστήμας πάσας εἰδὼς, καὶ ἐν πάσαις ἔχων τὸ
ἀκρότατον. εἰ γὰρ καὶ μὴ τοιοῦτος ἐστὶ πῶς ἂν δυνηθείη ἀληθῶς ἐπελέγχειν τὸν ἔν-
τινι ἀπιστήμῃ σφαλόμενον. τοῦτο δὲ, πᾶσας εἰδέναι, οὐ μίας τέχνης, καὶ ἀδύνατον.
ἄπειρα γὰρ τὰ ἀληθῶς δεικνύμενα. ἄπειροι ἄρα καὶ οἱ ἀληθεῖς ἔλεγχοι. ἐν δὲ τῷ, ἄ-
πειροι γὰρ ἴσως αἱ ἀπιστῆμαι, τὸ ἴσως εἶπε κατὰ τὴν ἑαυτῶν δόξαν. ἀϊδίου γὰρ ὄντος
κατ' αὐτὸν τῶν κόσμου, ὡς ἐν τῷ πρὸς οὐρανοῦ αὐτῷ δέδεικται. ἐπ' ἄπειρον καὶ
ἀπιστῆμαι αὐξηθήσονται. οὐδεὶ μὲν οὖν ζητεῖν κατὰ πόσους τρόπους οἱ ἀληθεῖς
ἔλεγχοι γίνονται. ὅτι δὲ ὅλως εἰσὶν ἀληθεῖς ἔλεγχοι, ὥσπερ καὶ φαινόμενοι δῆ-
λον. ὅσα γὰρ φησὶ ἐστὶν ἀποδεῖξαι τῇ καλουμένῃ ἐπ' εὐθείας δείξει, ἐστὶ καὶ δι' αὐ-
τῆς καὶ διὰ τῆς ἀδυνάτου. ἀδυνάτου δείξεως ταῦτα συστῆσαι, καὶ ἐλέγξαι τὸν
μὴ συγχωροῦντα τὸ συνημμένον ἐκ τῶν τεθέντων, ἀλλὰ τὸ ἐναντίον τιθέντα τῷ ἀλη-
θῆ. ὁ δὲ τοῦτον ἐλέγχων καὶ ἀποδεικνὺς ψευδόμενον συλλογισμὸν, ἀληθὴς ἐστὶ
ἔλεγχος. ὥστε τὸν μέλλοντα ἀληθῶς ἐλέγχειν, δεῖ πάντες ἀπιστήμης τυγχάνειν.
τοιοῦτος γὰρ ὢν ῥᾳδίως ἂν ἐλέγξῃ τὸν μὴ συγχωροῦντα τὴν θέσιν ἢ τὸ συμπέρα-

σμα, λαβὼν τὴν ἀντίφασιν. εἰπὼν δὲ ὅτι δεήσει πάντων ἀπιστήμονα εἶναι, ἐπή-
γαγεν. οἱ μὲν γὰρ ἔσονται πρὸς τὰς ἐν γεωμετρίᾳ ἀρχάς. ὥστε γεωμετρικὸν
εἶναι δεῖ τὸν μέλλοντα ἐλέγχειν τοὺς πρὸς τὰς ἀρχὰς τῆς γεωμετρίας συλ-
λογιζομένους. καὶ ἰατρικὸν, τοὺς πρὸς τῆς ἰατρικῆς. καὶ μουσικὸν ὡσαύτως,
τοὺς πρὸς τῆς μουσικῆς. καὶ ἀπὸ τῶν ἄλλων ὁμοίως. ὥστε εἴτις ἅπαντας ἐλέγ-
χειν μέλλοι δεῖ τοῦτον ἀπιστήμονα πάντων εἶναι. ἀλλὰ μὴν καὶ οἱ ψευδεῖς
ἔλεγχοι ὁμοίως ἐν ἀπείροις. ἄπειροι μὲν εἰσὶ φησὶ οἱ ἀληθεῖς ἔλεγχοι. ἄπει-
ροι δὲ καὶ οἱ ψευδεῖς. ψευδεῖς δὲ ἐλέγχους, οὐ τοὺς σοφιστικοὺς φησὶν ἐνταῦθα,
ἀλλὰ τοὺς δοκοῦντας μὲν εἶναι ἀπὸ τῶν οἰκείων ἀρχῶν τῆς ἀπιστήμης πρὸς ἧς
τὸν λόγον ποιοῦνται, μὴ ὄντας δέ. ὥστε ἐπειδὴ ἄπειροι οἱ ἀληθεῖς εἰσὶν ἔλεγ-
χοι. ἄπειροι ἂν εἶεν καὶ οἱ ψευδεῖς. καὶ τὰ μὲν λεγόμενα δῆλα. ἡ δὲ λέξις ἡ οἷ-
ον κατὰ γεωμετρίαν, ὁ γεωμετρικὸς, ἐλλείπως εἴρηται. εἴη δ' ἂν τὸ πλῆρες
τοιοῦτον. ὁ γεωμετρικὸς ψευδὴς ἔλεγχος κατὰ γεωμετρίαν ἐστὶ, ὁ πρὸς τὰς ἀρ-
χὰς τῆς γεωμετρίας γινόμενος. ὁποῖος ἦν ὁ τοῦ βρύσονος τετραγωνισμός. οὐ
μόνον δὲ τοὺς μὴ ἀπὸ τῶν ἀρχῶν ὡρμημένους τῆς ἀπιστήμης ὑφ' ἣν ἐστὶ τὸ πρόβλη-
μα, δοκοῦντας δὲ εἶναι, ψευδεῖς ἐλέγχους φησὶ, ἀλλὰ καὶ τοὺς ἐκ τῶν οἰκείων
μὲν τῆς ἀπιστήμης ἀρχῶν, κατά τι δὲ παραλογιζομένους, οἷα εἰσὶ τὰ τῶν εὐκλεί-
δου ψευδογραφήματα. δῆλον οὖν ὅτι οὐ πάντων τῶν ἐλέγχων. εἰπὼν ὅτι
ἄπειροι εἰσὶν οἱ ἀληθεῖς ἔλεγχοι, καὶ ἐν πάσαις ταῖς ἀπιστήμαις δυνάμενοι γί-
νεσθαι. ὁμοίως δὲ καὶ ἄπειροι καὶ ἐναντίοι τούτοις ψευδεῖς συλλογισμοί. κατὰ
πᾶσαν γὰρ τέχνην ἐγχωρεῖ γίνεσθαι καὶ τούτους. φησὶ ὅτι πρὸς τὸ δοῦναι ἐλέγ-
χους καθολικοὺς πάντων τῶν ψευδῶν συλλογισμῶν, οὐ τῆς παρούσης ἐστὶ
σκέψεως. νῦν γὰρ φησὶν οὐ λητέον τόπους καὶ ἀρχὰς πάντων τῶν ἀληθῶν ἐλέγ-
χων, ἀλλὰ τῶν παρὰ τὴν διαλεκτικήν. τοῦτο δ' ἐστὶν ἤγουν, τὸ τοῦτο ποιῆσαι, οἰ-
κεῖον ἐστὶ τῇ διαλεκτικῇ καὶ τοῖς ἐν ἐκείνῃ παραδεδομένοις τόποις. καὶ προστί-
θησιν ἐφεξῆς τὴν ἀντίαν τοῦ τὴν διαλεκτικὴν δύναμιν ἐν πᾶσιν ἀπιχειρεῖν λέ-
γων. οὗτοι γὰρ κοινοὶ πρὸς ἅπασαν τέχνην καὶ δύναμιν. ἐν πάσῃ γὰρ τέχνῃ δύ-
ναται ὁ διαλεκτικὸς συλλογίζεσθαι ἐκ κοινῶν καὶ ἐνδόξων, ἀλλὰ τὸν ἔλεγ-
χόν τινα κατά τινα ἀπιστήμην, εἴτε ἀληθῶς ἐλέγχει, εἴτε φαινομένως, οὐ πάν-
τως ἐστὶ διαγνῶναι, ἀλλὰ τοῦ ἀπιστήμονος μόνου. τοιοῦτος γὰρ δυνήσεται γνῶναι,
εἰ ἐκ τῶν οἰκείων τῇ ἀπιστήμῃ λημμάτων ὁ ἐλέγχων ἐλέγχει. τὸν δὲ ἐλέγχον-
τα ἀπότινων κοινῶν καὶ ἐνδόξων, διαγνώσεται ὁ διαλεκτικός. καὶ ὅπερ προστί-
θησι δυνάμει λέγων, ὡς ἤδη φθάσαντες παραδεδώκαμεν ἐν τοῖς τοπικοῖς, ἐξ
ὧν ἄν τις πρὸς πάντος τῶν προτεθέντος συλλογίζαιτο. ἐκ τούτων οὖν τῆς ὁρμώμε-
νος δύναται καὶ ἐλέγχειν. ὅτε γὰρ διαλεκτικὸς ἀντίφασιν πειρᾶται συλλογί-
ζεσθαι. τὸ δ' αὐτὸ τοῦτο καὶ ὁ ἔλεγχος. πλὴν ποτὲ μὲν δι' ἑνὸς συλλογισμοῦ τὴν
ἀντίφασιν συμπεραίνει. ποτὲ δὲ διὰ δύο. πρὸς δὲ τοῦ πότε μὲν ἑνί. πότε δὲ ἐνδυσὶν,
εἴρηκεν ἐν τῷ πρὸς τοῦ ἐξ ἀντικειμένων συλλογίζεσθαι. ὅτι εἰ μὲν ἐν ἑνὶ βουλό-

θα συλλογίσασθαι τὴν ἀντίφασιν, χρὴ ταύτην καὶ ἐν μιᾷ τῶν προτάσεων λαμβεῖν. οἷον, ὅτι ἰατρικὴ σοφία ἐστί μου. πᾶσα σοφία ἐστί μου, ὑπόληψις, καὶ οὐχ ὑπόληψις. ἰατρικὴ ἄρα ὑπόληψις καὶ οὐχ ὑπόληψις. ἀλλ' ἐπειδὴ ὡς φαῦλόν, τοῦτο οὐκ αὐτὸς συγχωρήσει ποιῆσαι, χρὴ ἐν δυσὶ πειρᾶσθαι συνάγειν τὴν ἀντίφασιν· καὶ δεικνύναι τὴν ἰατρικὴν, ποτὲ μὲν ὑπόληψις, ποτὲ δὲ μὴ τοῦτο, διῃρημένως καὶ ἐν δυσὶ συλλογισμοῖς. ὅτι οὖν μὲν πολὺ πύτου καὶ ἐν τοῖς ἔξω τὰς λύσεις τῶν σοφισμάτων κατασκευάζομεν. ἔχομεν ἄρα παρόντα πάντες εἰσὶ οἱ ψευδεῖς ἔλεγχοι, ἤγουν οἱ σοφιστικοί. εἰ δὲ γινώσκομεν ὅπως γίνονται καὶ διὰ ποίας αἰτίας. δῆλον ὡς καὶ τὰς λύσεις τούτων ἔχομεν. ἀπορήσαντες γὰρ προφέρομεν τοῖς συλλογιζομένοις παρόμοιμίαν ἢ ἀμφιβολίαν, ἢ κατά τινα τῶν λοιπῶν τρόπων, ταῦτα αὖ δὲν καὶ λύσεις αὐτῶν. ὅταν γὰρ ὁ σοφιστὴς ἐλέγχῃ τὸν λέγοντα τὸν κύνα μὴ ὑλακτεῖν, ὡς ὑλακτοῦντος σκιλονότι τοῦ χρυσάου, αὐτοὶ ἐνιστάμενοι ὡς πρὸς ἄλλου τὴν ἀπόκρισιν δόντες, εἴπωμεν ἐκ ταύτης τῆς ἐνστάσεως λύοντες καὶ τὸν φαινόμενον ἔλεγχον. ἐπειδὴ δὲ φησὶν ἔχομεν παρατρέπεσθαι γίνονται οἱ σοφιστικοὶ ἔλεγχοι, ἔχομεν ἄρα καὶ παρόντα γίνονται οἱ φαινόμενοι. τοῦτο δὲ καὶ ἐν τοῖς ἀνωθεν εἰρημένοις ἔστι. φαινομένους δὲ λέγει ἐλέγχους, οὐχὶ τοὺς τυχοῦσι δοκοῦντας καὶ ἰδιώτας. οἱ γὰρ μὴ εἰδότες ἐξ οἵων δεῖ πεπαιδεῦσθαι τοιούτοις ἔσονται. ὥστε καὶ ἀπείρατα ἔσονται τὰ τοιούτους ἀπατῶντα, ἀλλὰ τοὺς φαινομένους ἐλέγχους λέγω τοῖς εἰδόσι καὶ πεπαιδευμένοις. ἀλλὰ καὶ ὁ διαλεκτικὸς μόνος φησὶ δύνασθαι γνῶναι παρόντα διὰ τῶν κοινῶν γίνεται ἀληθὴς ἔλεγχος ἢ φαινόμενος· τίς δὲ ὁ ἀληθὴς ἔλεγχος καὶ τίς ὁ φαινόμενος, καὶ τίς ὁ διαλεκτικὸς, καὶ ὁ φαινόμενος διαλεκτικὸς, πῶς δὲ τούτοις καὶ ὁ πειραστικὸς, εἴρηται πολλάκις, καὶ πρὸ πολλοῦ αὖθις λέγειν πρὸς αὐτῶν. οὐκ ἔστι δὲ διαφορὰ τῶν λόγων, ἢν λέγουσί τινες· διελὼν τοὺς τρόπους καθ' οὓς οἱ παραλογισμοὶ γίνονται, ὡς δύο τοὺς αὐτοὺς τῶν· καὶ τοὺς μὲν αὐτῶν πρὸς τὴν λέξιν φάσας εἶναι, τοὺς δὲ ἔξω τῆς λέξεως, νῦν διδύμους τοὺς μὴ οὕτω λέγοντας, ἀπάγοντες δὲ πάντα τὰ σοφίσματα εἰς τοὺς πρὸς τοὔνομα λόγους, καὶ εἰς τοὺς πρὸς τὴν διάνοιαν, τὸ γὰρ πρὸς τὴν διάνοιαν αὐτὴ πρὸς τὴν διάνοιαν εἶναί φασι. καὶ δῆλον αὐτὸ τοῦτο ποιεῖ, διὰ τοῦ μετὰ ὀλίγον ἐπαχθέντος· τοῦτο γάρ ἐστι τὸ μὴ πρὸς τὴν διάνοιαν. ἀπατρέπειν τοὺς μὴ οὕτω διαιροῦντας πάντας τοὺς παραλογισμοὺς, ὡς αὐτὸς ἐδίδαξεν, ἀλλὰ λέγοντας, ὅτι οἱ μὲν εἰσὶ πρὸς τοὔνομα· οἱ δὲ πρὸς τὴν διάνοιαν, λέγει καὶ δεικνὺς μὴ ἄλλους εἶναι καὶ ἄλλους, ἀλλὰ τοὺς αὐτούς· οἷόν τι γὰρ πρὸς τὴν διάνοιαν, πρὸς τοὔνομα· καὶ οἱ πρὸς τοὔνομα πρὸς τὴν διάνοιαν. ὡς τι οὐ δύο τρόποι εἰσὶ, ἀλλὰ εἷς· τὸ γὰρ μὴ πρὸς τὴν διάνοιαν διελέχθαι, τί φησὶ ἄλλο ἐστὶν; ἢ ὅταν μὴ χρῆται ὁ ὁρωτῶν τῷ ὀνόματι, ἐφ' ᾧ οἰόμενος ὁρωτᾶσθαι ὁ ἐρωτώμενος εἶδωκε τὴν ἀπόκρισιν. τοῦτο γάρ ἐστι τὸ τῆς λέξεως κατ' ἄλλιλον· εἰ γάρ τις ὁρωτηθεὶς ἆραγε ὁ κύων ὑλακτεῖ· ὁ δὲ τὸν χρύσαορα οἰόμενος ὁρωτᾶσθαι

σθαι δοίη ὑλακτεῖν· ὁ δὲ ὁρωτῶν τὸν κύνα ὄνομα εἶναι τὸν ἰχθὺν μὴ φθορῶν λέγει· ἀλλὰ μὴν ὁ ἰχθὺς κύων ὢν οὐχ ὑλακτεῖ· οὐ πρὸς τὴν διάνοιαν τοῦ ἀποκριναμένου τῷ ὀνόματι κέχρηται. τὸ δὲ τοιοῦτον σόφισμα καὶ πρὸς τοὔνομα ἔστιν· ὥς τε ὥσπερ οὐ πρὸς τὴν διάνοιαν ἐστὶ συλλογιζόμενος ὁ μὴ χρώμενος τῷ κύων ὀνόματι, πρὸς τὸ χερσαῖον ὂν καὶ διανοούμενος ὁ ἀποκριναμένος ὑλακτεῖν ἔφησεν. οὕτω ἐμπαλιν πρὸς τὴν διάνοιαν ἐστὶ συλλογιζόμενος, ὅταν χρῆται τῷ ὀνόματι κατὰ τοῦ πράγματος ὁ διανοούμενος κατέφησεν ὁ ὁρωτηθείς, ὃ μὴ οὗτος ἐπήλωσε διὰ τοῦ. τὸ δὲ πρὸς τὴν διάνοιαν. ὅταν ἐφ' ᾧ ἐδόθη διανοηθείς, διάνοια δέ ἐστι τὸ μὴ χρῆσθαι ἐφ' ᾧ ἐδόθη. τὸ χρῆσθαι ἐφ' ᾧ ἐδόθη πρὸς τὴν διάνοιαν εἶναι. εἰ δὲ ταῦτα ἀληθῆ, ἄτοπον τὸ ὑπολαμβάνειν ἄλλους μὲν εἶναι πρὸς τοὔνομα λόγους, ἑτέρους δὲ πρὸς τὴν διάνοιαν. ὅπου γὰρ τὸ κατὰ διάνοιαν, ἐκεῖ καὶ τὸ κατ' ὄνομα καὶ τὸ ἀνάπαλιν· καὶ ὅπου τὸ πρὸς τοὔνομα, ἐκεῖ καὶ τὸ πρὸς τὴν διάνοιαν. εἰρήκεις πλείω σημαίνοντος τοῦ ὀνόματος. εἰπὼν καὶ συστήσας τοῦτο ἆραι τὸ πρὸς τοὔνομα καὶ μὴ πρὸς τὴν διάνοιαν διαλέγεσθαι, ἐπάγει. ὅταν μὲν γὰρ πρὸς τοὔνομα καὶ μὴ πρὸς τὴν διάνοιαν διαλέγεσθαι, ἐπάγει. ὅταν μὲν γὰρ πλείω σημαίνοντος τοῦ ὀνόματος οἴεται καὶ ὁ ὁρωτῶν καὶ ὁ ὁρωτώμενος μὴ πλείω σημαίνειν. οὕτως καὶ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν διείλεκται τοῦ ἀποκριναμένου. ὁρωτώμενον γὰρ τὸν ἀποκριναμένον εἴρηκεν, ὡς ὥσπερ καὶ τὸ, ἢ πρὸς τὴν διάνοιαν, αὐτὴ τοῦ καὶ πρὸς τὴν διάνοιαν. ἐπειδὴ γὰρ ἐφ' ᾧ ἐδόθη ὁ ἀποκριναμένος. πρὸς τοῦτο καὶ ὁρωτῶν ἐχρήσατο τῷ ὀνόματι, ἀμφοτέρων οἰομένων καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος λέγεσθαι τοῦ ὀνόματος. δῆλον ὅτι καὶ πρὸς τὴν διάνοιαν, καὶ πρὸς τοὔνομα διείλεκται. ὑπόθεσις γὰρ τὸν παρμενίδην ἓν ἢ πολλὰ σημαίνειν τὸ ὄν καὶ τὸ ἕν. ὁμοίως δὲ ἔχειν τούτῳ καὶ τὸν αὐτοῦ ξήνωνα. ὁ οὖν παρμενίδης ὁρωτῶν τὸν ξήνωνα εἰ ἓν τὸ ὂν ἐστὶ, τοῦτον καταφήσαντος καὶ ὁμολογήσαντος; οὐκ ἂν ἔτ' ἄλλου τινὸς ἐκεῖνος μεταίτιος, ἀλλὰ καὶ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν τοῦ ἀποκριναμένου ἐστὶ διειλεγμένος. εἰ δέ γε ὁ ἀποκριναμένος οἴεται πολλὰ σημαίνειν ἢ καὶ ὁ ὁρωτῶν· καὶ ὁ μὲν πρὸς ἄλλο δ' ἐδόκει· ὁ δὲ πρὸς ἄλλο κέχρηται τῷ ὀνόματι, ὡς ἂν εἰ κύνος αὖθις εἴρηται, δῆλον ὡς οὐ πρὸς τὴν διάνοιαν, ἀλλὰ πρὸς τοὔνομα· τοῦτο γὰρ λείπει διείλεκται. τὸ γὰρ πλείονες τοιοῦτόν ἐστι· δῆλον ὅτι οὐ πρὸς τὴν διάνοιαν, ἀλλὰ πρὸς τοὔνομα διείλεκται. τοῦτο εἰπὼν ἐπιφέρει, τὸ γὰρ πρὸς τοὔνομα καὶ μὴ πρὸς τὴν διάνοιαν διαλέγεσθαι, πρῶτον μὲν πρὸς τοὺς τοιούτους ἐστὶν ὁ λόγος, δυνάμει τοῦτ' ἐστὶ λέγειν, ὡς ἔοικε τὸ λέγειν, ὅτι πάντες οἱ παραλογισμοὶ εἰς τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν ἀνάγονται. πρῶτον μὲν γὰρ πρὸς τοὺς τοιούτους ἐστὶ λόγος, ὅσοι πλείω σημαίνουσιν. οὗτοι δ' ἂν εἶεν οἱ ὁμωνυμίαν καὶ ἀμφιβολοί. οἱ δ' ἄλλοι οὐχί. εἶτα πρὸς οὓς ἐστὶ λέγων οὐδαμοῦ τὸν ἐρωτῶντα καὶ ἀποκρινόμενον ἐνδέχεται μὴ πλείω σημαίνοντας, τὸν ἐρωτῶντα καὶ τὸν ἀποκρινόμενον οἴεσθαι πλείω σημαίνειν· ἐν δὲ τῷ λόγῳ τὸ

περὶ τὴν διάνοιαν, καὶ πρὸς τοὔνομα, ἀπὸ ἐν τῷ γὸν ἀποκρινόμενον ἔχειν πῶς τὰ δεδόμενα. ὅτι δὲ γὸ περὶ ὁντινοῦν τοῦτο σημαίνει. δῆλον ἐκ τοῦ ἐπαγομένου. φησὶ γὰρ, οὐ γὰρ ἐν τῷ λόγῳ ἐστὶ γὸ περὶ τὴν διάνοιαν εἶναι, ἀπὸ ἐν τῷ ἀμαθῶς ἔχειν γὸν ἀποκρινόμενον πρὸς τὰ ἠρωτημένα, καὶ τὰ μοναχῶς λεγόμενα ὁμώνυμα νομίζειν. εἰ δὴ καὶ ὡς εἴρηται οἱ πρὸς τοὔνομα περὶ τὴν διάνοιαν εἰσὶν, ἐνδέχεται πάντας γοὺς παραλογισμοὺς καὶ τοὺς ἐκ τῶν λόγων καὶ ὀνομάτων τῶν πλείω σημαινόντων ὄντας, καὶ τοὺς ἐκ τῶν ἀποκρινομένων καὶ ἐρωτώντων τῶν ἐχόντων πῶς πρὸς τὰ δεδόμενα, καὶ ἁπηῶς τοὺς τρεισκαίδεκα τρόπους, πάντας πρὸς τοὔνομα λέγειν. εἰ γὰρ εἰς δύο ταῦτα πάντες ἀνάγονται ὡς αὐτοῖς ἀρέσκει, τόν τε πρὸς τοὔνομα καὶ γὸν περὶ τὴν διάνοιαν. οὗτοι δὲ μηδὲν ὡς δέδεικται διαφέρουσιν ἀλλήλων, ἀλλ' εἰσὶν οἱ αὐτοί. δῆλον ὅτι ἐνδέχεται πάντας πρὸς τοὔνομα λέγειν. τούτου γὰρ ἐστὶ δηλοτικὸν γὸ, εἶτα πρὸς τοὔνομα ἐνδέχεται πάντας αὐτοὺς εἶναι. εἰ δὲ εὑρεθῶσι τινὲς, ὡς δειχήσεται, μὴ ὄντες πρὸς τοὔνομα, οὗτοι οὐδὲ πρὸς τὴν διάνοιαν ἔσονται, καὶ ἔσονται τινὲς παραλογισμοὶ τῆς παρούσης ἔξω πίπτοντες μεθόδου. γὸ γὰρ σωκράτης κάθηται, ὁ καθήμενος δύναται βαδίζειν. ὁ σωκράτης ἄρα βαδίζει. οὔτε πρὸς τοὔνομα, οὔτε πρὸς τὴν διάνοιαν ἐστίν. οὐδὲν γὰρ τῶν εἰρημένων πολλαχῶς λέγεται. εἰ πὼν δὲ ὅτι ἐν ταῦθα ἤγουν ἐν τῇ παρούσῃ μεθόδῳ γὸ πρὸς τοὔνομα λέγει ταυγὸν ἐστὶ, τῷ περὶ τὴν διάνοιαν, ἐπήγαγεν. εἰ γὰρ μὴ πάντες ἔσονται, ἔσονται τινὲς ἕτεροι. ἐλλιπέστερον δὲ εἴρηται. γὸ γὰρ πηῆρες ἐστίν. εἰ γὰρ μὴ πάντες πρὸς γοὔνομα εἰσὶ, ἔσονται τινὲς ἕτεροι. ὃ δὲ λέγει δυνάμει τοιοῦτον ἐστίν. εἰ γὰρ ὡς δέδεικται, πᾶν γὸ πρὸς τοὔνομα, καὶ περὶ τὴν διάνοιαν ἐστὶν, εἴπερ εὑρεθῶσι τινὲς, μὴ πρὸς τοὔνομα ὄντες, ἀλλὰ παρ' ἄλλοτι, οὐκ ἂν εἴη κοινήτις ἡ διαίρεσις αὐτῶν, καὶ καθόλου εἰς ἣν ἅπαντα ἀνάγεσθαι βούλονται. ἀπὸ ἐλλιπὴς καὶ διὰ τοῦτο ἀδόκιμος. ἀλλὰ μὴν ὅσοι συλλογισμοὶ εἰσὶ περὶ γὸ πηεοναχῶς. εἰ πὼν ὅτι εἴπερ εὑρεθῶσι τινὲς μὴ πρὸς τοὔνομα λέγεσθαι δυνάμενοι. ἔξω πεσοῦνται τῆς διαιρέσεως, ἐπάγει. ἀπὸ μὴν ὅσοι συλλογισμοὶ εἰσὶ περὶ γὸ πλεοναχῶς. ἔστι δὲ ὁ λέγει τοιοῦτον. εἴπερ φαμὲν συλλογίζεσθαι πρὸς τοὔνομα, καὶ γὸν λόγον, ἤγουν τὴν ἀμφιβολίαν. ὅσοι περὶ τὰς ὁμωνυμίας καὶ ἀμφιβολίας διατρίβουσιν, ἐν οἷς μὴ εἰσὶν ὁμώνυμα ἢ ἀμφίβολα τὰ λεγόμενα, οὗτοι οὐκ ἔσονται πρὸς τοὔνομα. ἔστι δὲ γὸ λεγόμενον τοιοῦτον. ὅσοι συλλογισμοὶ εἰσὶ περὶ γὸ πηεοναχῶς. τουτέστιν ὅσοι οὐκ εἰσὶ τῶν πηεοναχῶς τισὶ χρωμένων, ἀλλ' ἐκ γὸς εἰσὶ τούτων. ὡς ἀπὸ τῶν σωκράτης κάθηται, ὁ καθήμενος δύναται βαδίζειν. ὁ σωκράτης ἄρα βαδίζει. οὗτοι οὐκ ἐκ τῶν πηεοναχῶς, ἀπὸ ἐκ τῶν περὶ γὸ πηεοναχῶς. ὥς τε οὐδὲ πρὸς τοὔνομα ἔσονται. οὐδὲ πρὸς τὴν διάνοιαν. γὸ δὲ τούτων εἰσὶ τινές. οὐ περὶ τοὔνομα, ταυγὸν ἐστὶ τῷ, τούτων εἰσὶ τινὲς, οἱ μὴ πρὸς τοὔνομα ὄντες. πῶς οὖν ἀναχρήσονται οὗτοι εἰς γὸ περὶ τὴν διάνοιαν. οὐ μόνον γὰρ φησὶν ἄτοπον ἐστὶ, γὸ γοὺς τρεισκαίδεκα τρόπους λέγειν πρὸς τοὔνομα, ἀλλ' οὐδὲ αὐγοὺς γοὺς περὶ τὴν λέξιν ἕξ, εἰς γοὺς περὶ τοὔνομα ἀνάγειν

χρεών.

χρεών. εἰ γοῦν καὶ μὴ πάντες οἱ φαινόμενοι ἔλεγχοι εἰς τοὺς περὶ τοὔνομα ἀνάγονται. ἀπὸ οὖν εἰσὶ τινὲς παραλογισμοὶ, ἐν οἷς οὐ γίνεται ἡ ἀπάτη διὰ γὸ τὴν ἀπόκρισιν σφαλερὰν γενέσθαι. ἀλλὰ διὰ γὸ γὸν προστεθέντα λόγον ὁμώνυμον εἶναι ἢ ἀμφίβολον. εἰ γὰρ τις εἰ τύχη τοιαύτην προενέγκοι ἐρώτησιν. ὡς ἄρα γε ὁ κύων ὑλακτεῖ ἢ οὔ. καὶ τοῦ ἀποκρινομένου οἰομένου μοναχῶς γὸν κύνα λέγεσθαι. οἷον, εἰ τύχοι γὸν χερσαῖον ὁ ἐρωτῶν ἀπὸ τοῦ ἀστρώου ἐπαγάγη γὸ συμπέρασμα, οὐ γέγονεν ἡ ἀπάτη, διὰ γὸ καλῶς ἐξενεχθῆναι τὴν ἀπόκρισιν. καλῶς γὰρ ὅσον πρὸς τὴν τοῦ ἀποκρινομένου διάνοιαν, ἀλλὰ διὰ γὸ γὸν ἐρωτηθέντα λόγον ἔχειν γὸ διττόν. ὅλως τε ἄτοπον γὸ περὶ ἐλέγχου διαλέγεσθαι.

δείξας τοὺς πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν ἅπαντα τὰ σοφίσματα ἀνάγοντας μὴ καλῶς διαιροῦντας, μέμφεται τούτους καὶ ἄλλως, λέγων ὅλως τε ἄτοπόν τι ποιοῦσιν, οἱ οὑτωσὶ διαιροῦντες τὰ σοφίσματα, περὶ ἐλέγχου διαλεγόμενοι, μὴ πρότερον περὶ συλλογισμοῦ διαλαβόντες. ὁ γὰρ ἔλεγχος συλλογισμὸς ἐστὶν ἀντιφάσεως. ἔδει οὖν ζητῆσαι τί ποτε ἐστὶ συλλογισμὸς, καὶ τούτου εὑρεθέντος, εὑρεῖν τί ἐστιν ἔλεγχος. εὑρόντας δὲ τί ἐστιν ἔλεγχος, ἢ τρισκαίδεκα λέγειν καὶ αὐτοὺς τῶν σοφισμάτων τρόπους, ὥς περ καὶ ἡμεῖς λέγομεν, ἢ πάντας εἰς τὴν τοῦ ἐλέγχου ἀνάγειν ἄγνοιαν. ὥς τε ἐχρῆν πρότερον περὶ συλλογισμοῦ εἰπεῖν. ἔστι γὰρ ὁ σοφιστικὸς ἔλεγχος φαινόμενος συλλογισμὸς ἀντιφάσεως. διὸ ἂν ἦ φαινόμενος ἔλεγχος. οὕτω γὰρ συντακτέον γὸ χωρίον, τουτέστιν εἰ μέλλει φαινόμενος ἔλεγχος, καὶ σοφιστικὸς συλλογισμὸς γενήσεσθαι. δεῖ γὸ ἄντιον τῆς ἀπάτης καὶ γοῦ ψεύδους, ἢ ἐν τῷ συλλογισμῷ, τουτέστι τῷ συμπεράσματι εἶναι, ἢ ἐν τῇ ἀντιφάσει, τουτέστι τῇ τῆς ἀντιφάσεως ἐρωτήσει. προσκεῖσθαι γὰρ δεῖ ἐν τῇ ἐρωτήσει τὴν ἀντίφασιν. οἷον ἄρα ἐστὶ σιγῶντα λέγειν, ἢ οὔ. πότε δὲ ἐν ἀμφοῖν καὶ ἐν τῇ ἀντιφάσει καὶ ἐν τῷ συμπεράσματι. ἐν μὲν οὖν τῇ ἀντιφάσει καὶ οὐκ ἐν τῷ συμπεράσματι γὸ τῆς ἀπάτης ἄντιον ἐστὶν, ὡς ἀπὸ τοῦδε. ἄρ' ἐστὶ σιγῶντα λέγειν ἢ οὔ; οὐδαμῶς. τί δὲ ὅταν ξύλον λέγεις καὶ λίθους καὶ σίδηρα, οὐ σιγῶντα λέγεις. ναί. ἔστιν ἄρα ξύλα καὶ λίθους καὶ σίδηρα λέγειν, τουτέστιν ἄρα σιγῶντα λέγειν. γὸ μὲν οὖν σόφισμα τοιοῦτον. γὸ δὲ ἄντιον τῆς ἀπάτης οὐκ ἐν τῷ συμπεράσματι. ἀληθὲς γὰρ ἐστί. λέγομεν γὰρ καὶ ξύλα καὶ λίθους, ἅπερ ἐστὶν σιγῶντα. ἀπὸ ἐν τῇ ἀντιφάσει, τῇ τῆς ἀντιφάσεως φημὶ ἐρωτήσει, ἥτις εἶχε γὸ διττόν. γὸ γὰρ ἄρ' ἐστὶ σιγῶντα λέγειν. δηλοῖ δὲ καὶ γὸν σιγῶντα καὶ τὰ σιγώμενα. ἢ οὕτω. ἄρ' ἐστὶ λέγοντα σιγᾶν; οὐδῆτα. τί δὲ, ὅταν σιγᾶς, οὐ πάντα σιγᾶς, οὐκοῦν τὰ λεγόμενα σιγᾶς. ἐκ τῶν πάντων γὰρ εἰσίν. ἐστὶν ἄρα λέγοντα σιγᾶν. ἐν ταῦθα γὰρ λέγοντα, τὰ λεγόμενα ἔλαβεν ὁ ἐρωτῶν. ὁ δὲ ἀποκρινόμενος. ἀπὸ λέγοντος ἔδωκε. καὶ οὗτος μὲν ὁ παραλογισμὸς ὡς καὶ ὁ πρὸ αὐτῶν ἐν τῇ ἀντιφάσει ἔχει γὸ ἄντιον. ὅδε, ἃ μὴ ἔχει τίς δοίη ἄν, ἐν ἀμφοῖν, καὶ ἐν τῇ ἀντιφάσει καὶ ἐν τῷ συμπεράσματι. ὅπως δὲ δῆλον ἐστὶ καὶ τοῦτο θεμένοις γὸ σόφισμα. ἔστι δὲ τοῦτο. ἄρ' ὃ μὴ ἔχει τίς δοίη ἄν; οὐδαμῶς. τί δὲ, ὃ μὴ ἔχει τίς τα-

χέως, δοίη ἂν ταχέως; ναί. ὃ ἄρα μὴ ἔχει τίς, δοίη ἄν. ἐνταῦθα καὶ ἐν τῇ ἀντι-
φάσει καὶ ἐν τῷ συμπεράσματι ἐστὶ τὸ ἀήτιον τοῦ ψεύδους. καὶ ἐν μὲν τῷ συμ-
περάσματι δῆλον. ἔδει γὰρ μὴ συμπεραίνεσθαι, ὃ ἄρα μὴ ἔχοι τίς, δοίη ἄν, ἀλλ'
ὅτι μὴ ἔχοι τίς ταχέως, δοίη ἂν ταχέως. τοῦτο γὰρ ἦν ἀκόλουθον. ἀλλὰ μὴν καὶ
ἐν τῇ ἀντιφάσει ἐνορᾶται τὸ ἀήτιον τοῦ ψεύδους. οὕτω γὰρ ἐχρῆν εἰπεῖν. ἆρ' ὃ ἔ-
χει τίς, δοίη ἂν ὡς οὐκ ἔχει, ἢ οὔ; ἀλλ' οὐχὶ ὃ μὴ ἔχει τίς δοίη ἄν. ἐν δὲ τῷ συμ-
περάσματι μόνῳ ἔχων τὸ ψεῦδος παραλογισμὸς οὗτος, ὁ δεῖνα κάθηται. ὁ κα-
θήμενος δύναται βαδίζειν. ὁ καθήμενος ἄρα βαδίζει. ἐνταῦθα αἱ μὲν προτά-
σεις ἀληθεῖς. ἐν δὲ τῷ συμπεράσματι γέγονεν ἡ ἀπάτη. ἀηὰ ὁ λέγων. τὰ ἔπη, κύ-
κλος, ὁ κύκλος, σχῆμα. τὰ ἔπη, σχῆμα, ἐν τῷ συμπεράσματι μόνῳ ἔχει τὸ ἀήτιον.
διότι ὁ μέσος ὅρος ὡς πηειόνων δηλωτικὸς, ἐν μὲν ταῖς διαλεκτικαῖς σπουσίαις
λαμβάνεται, ἐν δὲ ταῖς ἀπιστημονικαῖς, οὐκ ἔτι. ὡς καὶ ἐν τῇ ἀποδεικτικῇ ἐπε-
σημήνατο. ἐκεῖνα γὰρ μόνα οἶδε, καὶ λέγεσθαι συγχωρεῖ ὁ γεωμέτρης κύκλοις,
ὅσοις ὁ τοῦ κύκλου ἐφαρμόζει ὁρισμὸς, οἷς δὲ μὴ, οὐκ ἔτι. ὁ μὲν οὖν φαινόμενος
ἔλεγχος, ἢ ἐν τῇ ἀντιφάσει, ἢ ἐν τῷ συμπεράσματι, ἢ πολλάκις ἐν ἀμφοῖν,
τὸ ἀήτιον φέρει τοῦ ψεύδους. ὅς τις δὲ μηδαμοῦ ἔχει ποιεῖν τὴν ἀπάτην οὗτος
ἀληθὴς ἐστὶ συλλογισμός. ἀληθῶν γὰρ οὐσῶν τῶν προτάσεων, ἐξανάγκης
καὶ τὸ συμπέρασμα ἐστὶν ἀληθές. ἀλλὰ δὴ ὅθεν ὁ λόγος ἦλθεν.
πάλιν ἀπὸ τὸ προκείμενον ἐπανῆλθε, καὶ δείκνυσι μὴ ἕτερον εἶναι τὸ πρὸς τοῦ-
νομα καὶ πρὸς τὴν διάνοιαν συλλογίζεσθαι. ἀλλ' ὡς δέδεικται ταυτὸν, καὶ
φησὶ ἐρωτῶν. πότερον οἱ ἐν τοῖς μαθήμασι σοφιστικοὶ λόγοι καὶ ἀπατητικοὶ,
μαθήματα λέγων, ἀριθμητικήν. γεωμετρίαν, καὶ τὰ συγγενῆ ταύταις. πότε-
ρον οἱ ἐν τοῖς μαθήμασι πρὸς τὴν διάνοιαν εἰσί. τουτέστι κατὰ διάνοιαν εἰσὶ τοῦ
ἐρωτωμένου, καὶ ἐρωτήσας ἀποκρίνεται λέγων, ἢ οὔ. δηλῶν διὰ τούτου, ὅτι οὐ
κατὰ τὴν ἐκείνου διάνοιαν, ὡς ἴσου ὄντος τοῦ, ἢ οὔ, τῷ δηλονότι περὶ τὴν διάνοι-
αν εἰσὶ τοῦ ἀποκρινομένου. εἰ γὰρ ὁ ἀποκρινόμενος οἴεται πολλὰ σημαίνειν τὸ
τοῦ τριγώνου ὄνομα, τό, τε σκαληνὸν, καὶ τὸ ἰσοσκελές. καὶ ἐρωτηθεὶς ἄρα πα-
νὸς τριγώνου αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλοις εἰσίν. ἔδωκεν ὅτι ἴσαι ἀλ-
λήλαις ἀπὸ τοῦ ἰσοσκελοῦς. ὁ δὲ σοφιστὴς ἐλέγχει αὐτόν. ἄρα κατὰ τὴν διά-
νοιαν διείλεκται τοῦ ἀποκρινομένου ὁ ἐρωτῶν. εἴπερ ὁ μὲν ἀποκρινόμενος, εἰ οὕ-
τως ἔτυχε τὸ σχῆμα, ἢ τὸν κύνα δέδωκεν ἀπὸ τοῦ χερσαίου, ἢ τοῦ ἀπὸ πέδου
σχήματος. ἐκεῖνος δ' ἀπὸ τὸν ἀστρῶν μετήνεγκεν ἢ τὰ ἔπη. δῆλον ἄρα ὡς πρὸς
τοὔνομα διείλεκται. καὶ οὐ πρὸς τὴν διάνοιαν τοῦ ἀποκρινομένου. ταυτὸν ἄρα
τὸ πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν ἐστίν. ἰστέον δὲ ὅτι ἐφ' ἑκάστης τῶν αὐτοῦ
ἐρωτήσεων τὸ, ἢ οὔ. ὡς ἀπόκρισις ἐστὶ, καὶ οἱονεὶ ἀπόφασις καὶ ἀπαρνήσις, ἀν-
τὶ τοῦ φανερὸν, ὅτι οὐκ ἐστὶ πρὸς τὴν διάνοιαν. ἔτι εἰ πολλὰ μὲν σημαίνει
τοὔνομα. ἔτι τὸ πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν, ταυτὸν εἶναι δεί-
κνυσι καὶ φησί. εἰ πολλὰ σημαίνοντος τινὸς ὀνόματος, μὴ νοεῖ τοῦτο οὕτως ἔχειν

ὁ ἀποκρινόμενος, ἀλλὰ μοναχῶς λέγεσθαι νομίζει. εἶτα ἐλέγχεται περὶ τοῦ
σοφιστοῦ πάντως οὐ κατὰ τὴν οἰκείαν διάνοιαν ἠλέγχη. ταυτὸν οὖν ἄρα τὸ
πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν. τὴν δὲ λέξιν τὴν, ἔτι εἰ πολλὰ μὲν σημαίνει
τοὔνομα. ὁ δὲ μὴ νοεῖ, μὴ δ' οἰεταίπως. οὗτος οὐ πρὸς τὴν διάνοιαν διείλε-
κται. τριχῶς ἐστὶν ἐκλαβεῖν. καθ' ἕνα μὲν τρόπον οὕτως. εἰ τοῦ ὀνόματος διττοῦ
ὄντος, μὴ νοεῖ τοῦτο ὁ ἀποκρινόμενος. πῶς οὗτος ἠπάτηται κατὰ διάνοιαν, ἢ
οὔ. καὶ πρὸς τοῦτο λύσις, οὐ πρὸς τὴν διάνοιαν, ἤγουν οὐ κατὰ τὴν διάνοιαν. ἢ
κατ' ἐρώτησιν ἀναγνωστέον, ἢ καὶ ὑπερβατικῶς οὕτως. ἄρα γε οὗτος πρὸς τὴν
διάνοιαν διείλεκται; καὶ οὕτως ἐπακτέον ὡς ἀρνητικόν τε καὶ ἀποφατικόν.
τὸ οὔ. σύνηθες γὰρ αὐτῷ τοῦτο. ὡς καὶ ἐν τῇ φυσικῇ ἀκροάσει εἶπεν. ἀλλ' ἐπει-
δὴ περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς. ἢ οὖν οὕ-
τω τὴν λέξιν ἀναγνωστέον, ἢ ἀποφατικῶς ὧδε. ἔτι εἰ πολλὰ μὲν σημαίνει τοῦ-
νομα. ὁ δὲ μὴ νοεῖ μὴ δ' οἰεταίπως, καὶ στίξαντες ἐπαγαγεῖν, οὗτος οὐ πρὸς τὴν
διάνοιαν διείλεκται. ὡς ἴσον τῷ, πάντως ὁ τοιοῦτος δῆλος ἐστὶν, ὅτι οὐ πρὸς
τὴν διάνοιαν διείλεκται, ἀλλὰ περὶ τὴν διάνοιαν. ἀλλὰ μὴν τοῦτο καὶ πρὸς τοῦ-
νομα ἔστι. ταυτὸν ἄρα τὸ πρὸς τοὔνομα, καὶ τὸ περὶ τὴν διάνοιαν. ἢ πῶς
δεῖ ἐρωτᾶν, πλὴν διδόντα διαίρεσιν. ἀποδείξας διὰ τῶν εἰρημένων ταυ-
τὸν εἶναι τὸ πρὸς τὴν διάνοιαν καὶ πρὸς τοὔνομα. ἔτι δὲ καὶ ὅτι οὐ πάντες οἱ
ψευδεῖς συλλογισμοὶ καὶ ἔλεγχοι. εἰς τὸ πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν
ἀνάγονται. διὰ τὸ μὴ δυνατὸν εἶναι τοὺς ἔξω τῆς λέξεως ἀναχθῆναι εἰς ταῦτα.
νῦν ὥς τινος εἴποντος, ὡς δύνατον ἐστὶ πάντας τοὺς ἐλέγχους ἀναχθῆναι εἰς ταῦτα
εἰ κατὰ διαίρεσιν ἡ ἐρώτησις γένοιτο, φησὶν ὡς πῶς οὖν δεῖ ἐρωτᾶν, ἢ καθ' ὑμᾶς
διὰ διερέσεως; εἰ γὰρ μὴ οὕτω αἱ ἐρωτήσεις προσάγονται. ὥς περ δὴ καὶ ἐλέγ-
χησαν. οἷον ἆρ' ἐστὶ σιγῶντα λέγειν; ἆρ' ὁ κύκλος σχῆμα; πάντως κατὰ διαίρε-
σιν λοιπὸν προαχθήσονται. ὥπερ ἐστὶ τὸ, πλὴν διδόντα διαίρεσιν, εἶτα καὶ κατὰ
τὴν διαίρεσιν ἐρώτησιν τίθησιν. οἱ γὰρ λεγόντες ἀνάγεσθαι πάντας τοὺς ἐλέγ-
χους εἰς τὸ πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν, ἴσως ἂν εἴποιεν, ὅτι ἀπὸ τοῦ
μὴ κατὰ διαίρεσιν τὰς ἐρωτήσεις γίνεσθαι. συμβαίνει μὴ δὲ τοὺς ἐλέγχους εἰς
τὰ εἰρημένα ἀνάγεσθαι. τίς δὲ ἡ κατὰ διαίρεσιν ἐρώτησις καὶ πῶς εἰσαχθήσεται,
σαφῶς παριστῶν φησὶν, εἴτ' ἐρωτήσειέ τις, εἰ ἔστι σιγῶντα λέγειν ἢ οὔ. ἢ ἔστι μὲν
ὡς οὔ. ἐστὶ δ' ὡς ναί. τοιοῦτόν τι διὰ τούτων παριστῶν, ὡς ὁ διαλεκτικῶς ἐρωτῶν
οὐ προάγει τὴν ἐρώτησιν οὕτως ὡς ἆρ' ἐστὶ σιγῶντα λέγειν ἢ οὔ. ἀλλὰ κατὰ
τόνδε τρόπον. ἆρα ἐστὶ σιγῶντα λέγειν, ἢ οὐκ ἐστὶν, ἀη' ἐστὶ μὲν ὡς ἐστὶ, ἐστὶ δ' ὡς
οὐκ ἐστί. τουτέστιν, ἆρ' ἐστὶ λέγειν σιγῶντα ἢ ἁπλῶς μὲν ὁ σιγῶν οὐ λέγει τρόπον δέ-
τινα ἐστὶ λέγειν τὸν σιγῶντα, τρόπον δέ τινα, οὔ. τουτέστιν κατὰ τί μὲν λέγει ὁ σι-
γῶν. κατά τι δὲ, οὔ. φησὶν οὖν πρὸς τοῦτο ὁ ἀριστοτέλης, ὡς κἂν κατὰ διαίρεσιν ἡ ἐρώ-
τησις γένηται, οἱ συναχθησόμενοι πάλιν λόγοι εἰς ἃ καὶ πρόην ἀνήγοντο. καὶ πάλιν
εἰς ταυτὰ ἀναχθήσονται, εἴτε τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν, ὅπερ ἐδεί-

χη, ταυτόν. εἰ γὰρ ἐκ διαιρέσεως προβαίη ἡ ἐρώτησις, καὶ ὁ μὲν ἀποκρινόμενος ἀποφήσει μὴ δυνατὸν εἶναι λέγειν τὸν σιγῶντα· ὁ δὲ ἐρωτῶν ἐπαγάγη συμπέρασμα ὡς δύναται λέγειν ὁ σιγῶν, δῆλον ὡς οὐ πρὸς τὴν διάνοιαν, τουτέστιν οὐ κατὰ τὴν διάνοιαν διειλέχθη τῶν ἀποκρινομένου ὁ ἐρωτῶν, ἀλλὰ πρὸς τοὔνομα. οἷον, ὁ ἐρωτῶν, οὕτω προήγαγε τὴν ἐρώτησιν, ὡς ἆρ' ἐστὶ σιγῶντα λέγειν ἢ οὐκ ἐστίν. ἀηὰ τρόπον μέν τινα ἐστί· τρόπον δέ τινα οὐκ ἐστιν. ὁ δὲ ἀποκρινόμενος τὸ οὐκ ἐστὶν ἔφησε. δῆλος ἐστὶ διὰ τοῦ οὐκ ἔστι τοῦτο εἰπὼν, ὡς οὐκ ἔστι λέγειν τὸν σιγῶντα· τὸ γὰρ οὐκ ἔστι, τοῦτο δηλοῖ, τὸ οὐκ ἐνδέχεται· κατά τι μὲν λέγειν τὸν σιγῶντα· κατά τι δὲ μή· ἀηὰ ἁπῃῶς μὴ λέγειν. ἀν οὖν ὁ ἀποκρινόμενος οὕτως εἴποι τουτέστιν, οὐκ ἐστὶ λέγειν τὸν σιγῶντα. ὁ δ' ἐρωτῶν ὅτι ἐστὶ συλλογίζεται· φανερὸν ἐστὶν ὡς ἀπ' ἄλλου μὲν σιγῶντα, τὸ λέγειν ἀπέφησεν ὁ ἀποκρινόμενος κατ' ἄλλου, ὁ ἐρωτῶν συνεπέρανε τὴν λέξιν τὴν, ἄρα οὐ πρὸς τὴν διάνοιαν διείλεκται, ὀξυτόνως ἀναγινώσκειν δεῖ. καὶ κατὰ ἀπόφασιν, ἀη' οὐχὶ κατ' ἐρώτησιν. ἵνα οὖν συντόμως ἐροῦμεν, τουτέστιν ὃ φησί· ὡς εἰ καὶ κατὰ διαίρεσιν καθ' ὑμᾶς ἡ ἐρώτησις γένοιτο, ἡ δὴ καὶ προλαβόντες εἰρήκαμεν καὶ τῆς διαιρέσεως γενομένης, ὁ μὲν ἀποκρινόμενος εἴπη μηδαμῶς λέγειν τὸν σιγῶντα ἤγουν οὐδ' ὅλως. ὁ δ' ἐρωτῶν συμπεραινεῖ λέγειν αὐτόν. ἆρ' οὐ κατὰ διάνοιαν τοῦ δ' ἀποκρινομένου διείλεκται. ἵν' ἢ τὸ ἄρα συμπερασματικόν. καίτοι οὗτος ὁ λόγος, τουτέστιν ὁ περὶ τὴν διάνοιαν, καὶ περὶ τοὔνομα ἐστί· οὔτε γὰρ ἡ αὐτὴ διάνοια τοῦ ἐρωτῶντος καὶ τοῦ ἀποκρινομένου. οὔτε πρὸς τὸ αὐτὸ πρᾶγμα. πρὸς ὃ ἡ τοῦ ἀποκρινομένου ἀπόκρισις γέγονε, πρὸς ἐκεῖνο καὶ τὸ συμπέρασμα ἐξήνεκται καὶ τὸ αὐτὸ ὄνομα ἦν. ὥς τε τὸ αὐτὸ ἐστὶ τό τε πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν. τόδε οὐκ ἄρα ἐστὶν γένος τι λόγων τὸ πρὸς τὴν διάνοιαν. τοιοῦτον· ἐστὶν, ἵνα καὶ τὸ πηῆρες τῇ λέξει προσθήσομεν ἐπεὶ ἀπεδείχθη τὸ, τὸ αὐτὸ εἶναι τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν, οὐκ ἐστὶ λοιπὸν τὸ γένος τῶν περὶ τὴν διάνοιαν λόγων ἄλλο περὶ τοὔνομα. ἀλλὰ ταυτό· ὁμοίως καὶ τὸ, ἀλλ' οἱ μὲν πρὸς τοὔνομα εἰσὶν, τοιοῦτον ὅτι ἀλλ' οἱ μὲν, ἤγουν τινὲς τῶν ψευδῶν συλλογισμῶν πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν εἰσὶν, πηὴν οὐ πάντες εἰς ταῦτα ἔχουσιν τὴν ἀναγωγήν. τὸ δὲ, καίτοι οὗτοι οὐ πάντες, τοιοῦτος ἐστὶν, οὐχ ὅτι οὐ πάντες οἱ ἔλεγχοι τοιοῦτοι, ἤγουν εἰς τὸ πολλάκις εἰρήκαμεν ἀναγόμενοι. ἀλλ' οὐδ' οἱ φαινόμενοι ἔλεγχοι, εἰς ταῦτα ἀνάγονται· τουτέστιν οὐ μόνον τοῦτο φημὶ ὡς οὐκ ἀνάγονται πάντες ἁπῃῶς οἱ ἔλεγχοι οἱ διαλεκτικοὶ εἰς ταῦτα. ἀλλ' οὐδ' οἱ φαινόμενοι. τῶν γὰρ φαινομένων ἐλέγχων οἱ μὴ περὶ τὴν λέξιν, τουτέστιν ἐκτὸς τῆς λέξεως. οἷον οἱ περὶ τὸ συμβεβηκὸς καὶ οἱ λοιποὶ ϛ, οὐκ εἰς τὴν διαίρεσιν ταύτην ἀνάγονται. ὥς τε ματαία ἡ εἰσαγομένη διαίρεσις, ὡς τῶν αὐτῶν καὶ πάλιν ἀπ' αὐτῆς ἀτόπων συναγομένων. εἰ δέ τις ἀξιοῖ διαιρεῖν ὅτι λέγω δέ. εἰπὼν ὡς οὐκ ἐγχωρεῖ τὰ σοφίσματα πάντα εἰς τὸ πρὸς τοὔνομα ἀνάγεσθαι, καὶ πρὸς τὴν διαίρεσιν ἀπαντήσας τε καὶ πρὸς τοὺς ἴσων ἀντιπεσόντας καὶ φήσαντας δυνατὸν

εἶναι διὰ τῆς διαιρέσεως ἀνάγεσθαι εἰς αὐτό· καὶ δείξας ὅτι καὶ δόσομεν πάντα εἰς ταῦτα ἀνάγεσθαι, ἀλλ' οὖν πάλιν καὶ οὕτως οἱ παρὰ τὴν διαίρεσιν, καὶ οἱ πρὸς τοὔνομα οἱ αὐτοὶ εἰσί· νῦν εὐθύνει καὶ τὸν ἀξιοῦντα λόγων κατὰ διαίρεσιν ἐρωτᾶν, καὶ πειρᾶται ἀνατρέπειν αὐτόν. λέγων ὡς εἴ τις οὕτως ἀξιοῖ λέγων, οὕτω καὶ ἐρωτῶν. ἆρ' ἐστὶ σιγῶντα λέγειν· ἔστι δὲ σιγῶντα, ὅτε μὴ λαλῶν ἄνθρωπος, καὶ τὰ σιγώμενα· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, τὰ μὲν ὡδί· τὰ δ' ὡδί· τὰ δὲ οὕτως, ὡς μὴ πεφυκότα λαλεῖν, εἴ τις οὕτω ἐρωτᾶ, οὐ καλῶς ἀξιοῖ. ὅτι καὶ πρὸς τῆς ἀξιώσεως ἀπρεποῦς οὔσης. ἀλλὰ δὲ τῶν πολλαχῶς λεγομένων, ἴσως ἄν τις κατὰ διαίρεσιν ἐρωτήσῃ. ἀλλὰ δὲ τῶν μὴ πολλαχῶς. πῶς ἐνδέχεται διαιρεῖν. ὃ γὰρ μὴ οἴεται πολλάκις αὐτὸς ὁ ἐρωτῶν ὁμώνυμον εἶναι, ἀη' ἀγνοεῖ, μάταιον ἐστὶ διαιρεῖν αὐτὸ τοῦτο. μᾶλλον δὲ ἀδύνατον. ἄλλως τε καὶ περὶ τὴν διαλεκτικὴν μέθοδον τὴν ἀξίωσιν ποιεῖται, ὁ οὕτως ἐρωτῶν. διδάσκων γὰρ ἐστὶ τὸ διαιρεῖν, πολλαχῶς λέγεται τὸ πρᾶγμα. οἷον ὀξύ φερε εἰπεῖν, λέγεται καὶ ἡ φωνὴ καὶ ὁ ὄγκος. καὶ ὀξεῖα μὲν φωνὴ ἐστὶ τόδε. ὄγκος δὲ, τόδε. τῶν διδασκόντων οὖν ἐστὶ τὸ διαιρεῖν. ἔπειτα ἐπεὶ πρὸς νίκην ἢ ἀπάτην τοῦ ἀποκρινομένου ὁρᾷ ὁ τὰς ἐρωτήσεις ποιούμενος καὶ διαίρεσιν ποιησάμενος ἔρροιτο, γνώριμον ποιήσει τῷ ἀποκρινομένῳ πολλαχῶς λέγεται μὴ εἰδότι μὴ δ' ἐπεσκεμμένῳ ὅτι τοσαυταχῶς καὶ κατὰ τοσούτων καὶ τοιούτων λέγεται. γνωρίμου δὲ γενομένου ποσαχῶς τὰ σιγῶντα λέγεται. καὶ τοῦ ἀποκρινομένου εἰ τύχη ἀλλὰ τοῦ σιγῶντος ἀποφήσαντος, ἀν' ἐρωτῶν ἀλλὰ τὰ σιγώμενα μετενέγκοι τὸν λόγον, καταγέλαστος δόξειεν. ἐπεὶ καὶ ἐν τοῖς μὴ διπηοῖς τί κωλύει τοῦτο ποιεῖν. εἰπὼν ὅτι ἐνίοτε τὸ ἐρωτόμενον καίτοι πολλαχῶς λεγόμενον. οὐδ' ὃ πολλαχῶς λέγεσθαι. ὅδε μὴ οἴεται πολλαχῶς λεγόμενον, πῶς ἀν' διέλοι ὁ ἐρωτῶν. νῦν ὡς ἀπ' ἐκείνων ἐπάγει τὸ λεγόμενον τοιοῦτον. ὅτι πῶς φῆς ἀριστοτέλης. ὅτι δεῖ τὸ ἐρωτώμενον ὁμώνυμον εἶναι, ἵνα ἡ κατὰ διαίρεσιν προβαίη ἐρώτησις. δυνατὸν γὰρ ἐστὶν ἐν τοῖς μὴ διπηοῖς, τουτέστιν μὴ ὁμωνύμοις τοῦτο ποιεῖν, ἤγουν τὸ κατὰ διαίρεσιν ἐρωτᾶν. εἶτα καὶ πῶς ἐνδέχεται τὰ μὴ πολλαχῶς ἀλλὰ μοναχῶς λεγόμενα διαιροῦντας ἐρωτᾶν, διδάσκων ἐπάγει. ἄραγε ἁ ἐν ταῖς τέσσαρσι μονάδες ἴσαι εἰσὶ ταῖς δυσὶν δυάσιν. ἤγουν ἄρα ἁ δ μονάδες ἴσαι εἰσὶ ταῖς δυσὶ δυάσι. λέγω οὐχὶ ἑκάστην τῶν μονάδων ἴσην τῇ δυάδι. ἀλλ' ὁμοῦ τὰς τέσσαρας μονάδας ἴσας ταῖς δυσὶ δυάσι. τὸ δὲ εἰσὶ δὲ δυάδες, ἁ μὲν ὡδὶ ἐνοῦσαι. ἁ δὲ ὡδί· ἴσον ἐστὶ, τῷ λέγῳ δὲ ὡδὶ μὲν ἴσας. ὡδὶ δὲ, μή· ὁμοῦ μὲν τὰς δύο δυάδας, ἴσας ταῖς τέσσαρσι μονάσιν. κατὰ δὲ τῶν μονάδων ἑκάστας τῶν δυάδων, οὐκ ἴσας. καὶ ἵνα δι' ἕτερον ὁ λόγος γένηται, οὕτως αὐτὸν δέξῃ. ἁ τέσσαρες μονάδες, ὡδὶ μὲν ἐνοῦσαι καὶ λαμβανόμεναι ἴσαι εἰσὶ ταῖς δυσὶ δυάσιν. ὡδὶ δὲ, ἤγουν μία ἑκάστη τῶν μονάδων μιᾷ τῶν δυάδων, οὔ. εἴ τις οὖν οὕτω, φήσουσιν ἐκεῖνοι, τὴν ἐρώτησιν ποιήσεται κατὰ διαίρεσιν, ἠρώτησε καίτοι μήτε τῶν μονάδων μήτε τῶν δυάδων πηεοναχῶς λεγομένων. εἶτα καὶ ἕτερον παράδειγμα τίθησι τὸ, ἄρα τῶν ἐναντίων μία ἀντιστήμη.

ὁ οὕτως ἀν καταλλήλως ὀρωτηθείη· ἆρ' ἀπὸ τῶν ἐναντίων τὰ μὲν γνωστά· τὰ δὲ, ἄγνωστα· ἐστὶν αὐτῶν μία ἀπιστήμη· ταῦτα εἰπῶν λέγει· ὥστε ἔοικεν ἀγνοεῖν ὁ τοῦτο ἀξιῶν, ὅτι ἕτερον τὸ διδάσκειν τοῦ διαλέγεσθαι. τὸν μὲν γὰρ διδάσκοντα δεῖ μὴ ὀρωτᾶν, ἀλλὰ λαμβάνειν ἀφ' ἑαυτοῦ, καὶ πάντα δῆλα ποιεῖν τῷ μαθητῇ· τὸν δὲ πρὸς ἀπάτην ἢ νίκην ὁρῶντα, οὐδαμῶς. ἔτι τὸ φάναι ἢ ἀποφάναι ἀξιοῦν. ἔτι ἀναιρεῖ τοῦτο κατὰ διαίρεσιν ὀρωτῶντας, καὶ φησὶ τὸ τὴν πρότασιν οὕτω ὀρωτᾶν, ὡς ἀναγκάζεσθαι τὸν ἀποκρινόμενον, ἢ τὸ ναὶ, ἢ τὸ ὄν, λέγειν· ταῦτα γὰρ εἴπε φάναι ἢ ἀποφάναι. οὐ δεικνύντος ἐστὶν, ἀλλὰ πεῖραν λαμβάνοντος τοῦ ἀποκρινομένου, εἰ γινώσκει τὸ ἐρωτώμενον· πῶς οὖν ἐνδέχεται τὸν ἀπόπειραν ποιούμενον, διαιρεῖν καὶ διδάσκειν τὸν ἐρωτώμενον ὃ ζητεῖ μαθεῖν εἰ οἶδεν. ἡ γὰρ πειραστικὴ οὐ διαλεκτικὴ ἐστιν ἵνα δῆλα ποιεῖ τὰ πράγματα, ἀλλὰ διαλεκτικήτις· ὡς καὶ ἐν τοῖς προῤῥηθεῖσιν εἴπομεν· καὶ θεωρεῖ οὐ τὸν εἰδότα, ἀλλὰ τὸν προσποιούμενον εἰδέναι, ἀγνοοῦντα δέ· ὁ μὲν οὖν κατὰ τὸ πρᾶγμα θεωρῶν τὰ κοινὰ, διαλεκτικὸς ἐστὶν, ἐμφῆνας διὰ τῶν εἰπεῖν ὅτι ἡ πειραστικὴ διαλεκτικήτις ἐστίν· ὅτι μὴ ταὐτὸν ἐστὶ πειραστικὴ καὶ διαλεκτικὴ ἀλλὰ διάφοροι, ἀκολούθως τὴν διαφορὰν αὐτῶν παραδίδωσι· καὶ τὸν μὲν κατὰ τὰ κοινὰ θεωροῦντα τὸ πρᾶγμα· οὕτω γὰρ ἐστὶ τὸ ἑξῆς τῆς λέξεως ὡς κοινὰ λέγει τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς, τοῦτον καλεῖ διαλετικόν· τὸν δὲ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ, πειραστικόν· τοῦτο γὰρ λείπει· τὸν δὲ ἐκ τῶν φαινομένων ἐνδόξων μὴ ὄντων δὲ, σοφιστικόν· καὶ ἐριστικόν· πῆ δὲ διαφέρει ὁ σοφιστικὸς τῶν ἐριστικοῦ, μετ' ὀλίγον ἐρεῖ. καὶ συλλογισμὸς ἐριστικὸς καὶ σοφιστικὸς ἐστὶν εἷς μὲν ὁ φαινόμενος. παρακατιὼν μὲν παραδοῦναι μέλλει διαφορὰν ἐριστικοῦ καὶ σοφιστικοῦ· νῦν δὲ ὡς ἓν λαμβάνει τὸν ἐριστικὸν καὶ σοφιστικὸν συλλογισμόν· διαιρεῖ δὲ τοῦτον εἰς δύο· καὶ ἕνα μὲν φησὶ συλλογισμὸν ἐριστικὸν καὶ σοφιστικὸν εἶναι τὸν φαινόμενον μὲν συλλογισμὸν, ὄντα δὲ ἀσυλλόγιστον· ὃς καὶ συλλογίζεται περὶ τῶν ἐνδόξων περὶ ὧν ἡ διαλεκτικὴ πειράζει· ἔστι δὲ οὗτος ὁ ἐκ δύο καταφατικῶν συνάγων τί ἐν β̄ σχήματι, ἢ ἐκ δύο μερικῶν ἐν ὁποιωοῦν τῶν σχημάτων· ἢ ὅπως ἄλλως περὶ τοὺς συλλογιστικοὺς τρόπους συνάγων τί· ὥσπερ ὁ καινεὺς ἐκ δύο καταφατικῶν ἐν β̄ σχήματι συνῆγεν ὅτι πῦρ ἐν πολλαπλασίονι ἀνάλογον ἐστίν· οὑτωσὶ τὴν ἀναγωγὴν ποιούμενος τῶν σοφίσματος· τὸ ἐν πολλαπλασίονι ἀνάλογον, ταχὺ αὔξοντι, τὸ πῦρ ταχὺ αὔξει· καὶ τὸ συμπέρασμα δῆλον· ὁ μὴ τὸ σχῆμα οὖν φη[illegible]γιὲς ἔχων, ἐριστικὸς καὶ σοφιστικὸς ἐστίν· ἐκ παραλλήλου θεὶς τὸ αὐτό· ὁ γὰρ ἐριστικὸς καὶ σοφιστὴς ὁ αὐτὸς, τῇ προαιρέσει μόνον διαφέροντες, ὡς μετ' ὀλίγον ἐρεῖ· ἐστὶν οὖν ἀσυλλόγιστος ὁ τοιοῦτος συλλογισμὸς, κἂν ψευδὲς, κἂν ἀληθὲς ἢ τὸ συμπέρασμα· καὶ τὴν ἀντίαν ἐπάγει τῶν εἶναι τοῦτον ἀσυλλόγιστον· τὸν γὰρ μέσον ὅρον, ὃς καὶ ἄντιος ἐστὶ τῶν συμπεράσματος, ὃν καὶ διατὶ ὀνομάζει· ἀπατητικὸν ἔχει· κἂν γὰρ ἀληθῶς κατὰ ἀμφοτέρων τῶν ἄκρων κατηγορῆται ὁ μέσος ὅρος ἐν τῷ β̄ σχήματι, ὅταν ἀμφότεραι αἱ προτάσεις καταφατικαὶ λη-

φθῶσιν, ὅμως οὐχ οὕτως ἔδει ταύτας λαβεῖν· ἀλλὰ τὴν μὲν οὕτω· τὴν δὲ στερητικῶς· ὥστε ἀπατητικὸς ἐστὶ τῶν διατί· ἀλλὰ κἂν τὰς δύο μερικὰς λάβῃ· ὡς ἀπὸ τῶν δε· ὁ πιττακὸς, σοφός· ὁ πιττακὸς, σπουδαῖος. οἱ σοφοὶ ἄρα σπουδαῖοι. ἀπατητικὸς δὲ καὶ οὗτος τῶν μέσου, καίτοι ἀληθοῦς ὄντος τῶν συμπεράσματος· οὐ γὰρ ἀνάγκη εἶ ὁ πιττακὸς σπουδαῖος καὶ σοφός, καὶ τοὺς σοφοὺς σπουδαίους εἶναι διὰ τὸν συλλογισμὸν· περὶ ἃ οὖν νῦν φησὶν ἡ διαλεκτικὴ πειραστικὴ ἐστὶν καὶ εἴρηται κατ' ἀρχὰς πῶς ἐστὶ, περὶ ταῦτα ἡ σοφιστικὴ ἀπατητικὴ ἐστί· προσποιεῖται γὰρ εἰδέναι. ἀλλ' ὁ μὲν πειραστικὸς ἐπ' ὠφελείᾳ ὡς εἴρηται τῶν τὸ ποιεῖν τῶν προσποιουμένου εἰδέναι τὸ πρᾶγμα καὶ ἐκ τῶν ἁπλῶς ἐνδόξων ἢ τῶν δοκούντων τῷ προσποιουμένῳ εἰδέναι τὸ πρᾶγμα, καὶ πολὺ τοῦτο περὶ πλατῶνι τὸ εἶδος τῶν λόγων ὁ δὲ σοφιστὴς ἐκτινων ὁμωνύμων ἢ ἀμφιβόλων, ἢ τινῶν ἄλλων τοιούτων· δύο οὖν φησὶν εἰσὶ συλλογισμοὶ ἐριστικοί· εἷς μὲν ὁ προειρημένος ὁ ἀσυλλόγιστος ἔχων τὸ σχῆμα· ἕτερος δὲ ὃς οὐκ ἐκ τῶν οἰκείων ἀρχῶν τῆς προκειμένης ὢν μεθόδου, μὴ δὲ ταῖς οἰκείαις τῶν πράγματος χρώμενος προτάσεσι, δοκεῖ εἶναι κατὰ τὴν τέχνην, ἤγουν τῶν οἰκείων τῇ τέχνῃ διὰ τοῦτο τὰ ψευδογραφήματα οὐκ ἐριστικὰ, ἀλλὰ διαλεκτικά· ἐκ γὰρ τῶν οἰκείων ἀρχῶν ὥρμηνται τῆς γεωμετρίας· αἱ γραφαὶ δὲ οὐ γίνονται ὡς δεῖ· καὶ εἴρηται ἐν τῷ α̅ τῶν τοπικῶν περὶ τούτων· λέγει γὰρ ἐν ἐκείνοις· τῷ γὰρ, τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ, ἢ γραμμὰς τινὰς ἀγεῖν μὴ ὡς ἂν ἀχείησαν, τὸν παραλογισμὸν ποιεῖται ὁ ψευδογράφων· οὐκ ἐριστικὰ οὖν τὰ ψευδογραφήματα ὅτι ἀπὸ τῶν οἰκείων ἀρχῶν παραλογίζονται· οὐδὲ εἴπεστι ψευδογράφημα περὶ ἀληθὲς, ἐριστικὸν ἔσται, οἷος ὁ τῶν ἱπποκράτους καὶ ὁ διὰ τῶν μηνίσκων τῶν ἀντιφῶντος τῶν κύκλου τετραγωνισμός· οὐ γὰρ εἰσὶ ἐριστικοί· ὅτι τηροῦσι τὰς οἰκείας ἀρχὰς τῆς γεωμετρίας· ἀλλ' ὁ τῶν βρύσωνος τετραγωνισμὸς τοῦ κύκλου, ἐριστικὸς ἐστὶ καὶ σοφιστικός· ὅτι οὐκ ἐκ τῶν οἰκείων ἀρχῶν τῆς γεωμετρίας· ἀλλ' ἐκ τινῶν κοινοτέρων· τὸ γὰρ παραγράφειν ἐκτὸς τῶν κύκλου τετράγωνον· καὶ ἐντὸς ἐνγγράφειν ἕτερον, καὶ μεταξὺ τῶν δύο τετραγώνων, ἕτερον τετράγωνον· εἶτα λέγειν ὅτι μεταξὺ τῶν δύο τετραγώνων κύκλος, ὁμοίως δὲ καὶ τὸ μεταξὺ τῶν δύο τετραγώνων τετράγωνον, τῶν μὲν ἐκτὸς τετραγώνου ἐλάττονα εἰσὶ, τῶν δ' ἐκτὸς μείζονα· τὰ δὲ τῶν αὐτῶν μείζονα καὶ ἐλάττονα, ἴσα ἐστίν· ἴσος ἄρα ὁ κύκλος καὶ τὸ τετράγωνον· ἐκ τινων κοινῶν, ἀλλὰ καὶ ψευδῶν ἐστί· κοινῶν μὲν, ὅτι καὶ ἐπ' ἀριθμῶν καὶ κρόνων καὶ τόπων καὶ ἄλλων κοινῶν ἁρμόσοι ἄν· ψευδῶν δὲ, ὅτι ὀκτὼ καὶ ἐννέα, τῶν δέκα καὶ ἑπτὰ ἐλάττονες καὶ μείζονες εἰσὶ, καὶ ὅμως οὐκ εἰσὶν ἴσοι ἀλλὰ καὶ συνάγων ὅτι αἱ ἀρεταὶ διδακταί, ἐκ τοῦ λέγειν ὅτι τὰ διδακτὰ πρότερον μὴ ὄντα ὕστερον ἡμῖν ἀπιγίνεται· αἱ δὲ ἀρεταὶ πρότερον οὐκ ἐνοῦσαις, ὕστερον ἀπιγίνονται· αἱ ἀρεταὶ ἄρα διδακταί· ἐριστικὸς καὶ σοφιστικός· οὐ γὰρ ἐκ τῶν οἰκείων τῶν πράγματος συνάγει τὸ προκείμενον· τοῦτο γὰρ ἁρμόσει καὶ ἐπ' ἄλλων λέγειν πολλῶν. ὥστε ὅτε, περὶ τῶν δὲ φαινόμενος συλλογισμὸς, ἐριστικὸς λόγος δύο εἰπὼν ἐριστικοὺς συλλογισμοὺς, τόν τε κατὰ τὸ σχῆμα ἡμαρτημένον, καὶ τὸν μὴ ἐκ

τῶν οἰκείων ἀρχῶν τῆς προκειμένης μεθόδου, φαινόμενον δὲ ἐκ τούτων. νῦν συ-
νάπτει τούτοις, ἢ μᾶλλον ἓν ὄνομα καὶ ἀμφοτέροις τίθησιν. ἐρίστικος γὰρ ἐστὶ
λόγος καὶ ὁ περὶ τῶνδε φαινόμενος, περὶ τῶνδε φαινόμενον λέγοντος, γὸν μὴ κα-
τὰ γὸ σχῆμα ὑγιῆ. καὶ ὁ κατὰ γὸ πρᾶγμα δὲ φαινόμενος, κἂν ὑγιὴς μὲν ἐστὶ κα-
τὰ γὸ σχῆμα. τοῦτο δὲ δηλοῦντο διὰ τῶν, κἂν ἢ συλλογισμὸς δοκῶν. δοκῶν δὲ συ-
νάγεσθαι μὲν ἐκ τῶν ἀρχῶν τῶν πράγματος. μὴ συναγόμενος δὲ ἀπ' ἐκείνων, ἀλλὰ
φαινόμενος, ἐρίστικος ἐστὶ λόγος. διατὶ δὲ ἐρίστικος ἐστὶν, ἐπάγαγε λέγων. φαι-
νόμενος γὰρ ἐστὶ κατὰ γὸ πρᾶγμα ὡς ἀπατητικὸς καὶ ἄδικος. διὰ τοῦτο γοῦν
καὶ σοφιστικός. ὥσπερ δὲ καὶ ἐν τοῖς δρομικοῖς ἀγῶσιν, ἀδικία τίς ἐστιν, ὅταν οἱ
δρομεῖς ἀφέντες εὐθὺ τῆς νύσσης φέρεσθαι ἀνήλοις ἐμποδίζουσιν. οὕτως ἐστὶ
καὶ ἐν διαλέξει ἀδικία τίς ἐρίστικη τιθέντων τῶν διαλεγομένων ἀνήλοις σκῶλα
περὶ γὸ μὴ συναχθῆναι γὸ παρεκάστου μελετώμενον. ἢ ὥσπερ ἐν τῷ τοιούτῳ ἀγῶνι
ἀδικία γίνεται, ὅταν προεκτρέχηται καὶ ἄλλου προπορευομένου ἄλλος ὑπο-
φθάσας κατάσχη αὐγὸν καὶ κωλύσῃ τῶν δρόμου. ἔδει γὰρ ἀμφωτρέχειν, καὶ οὕ-
τω φανῆναι γὸν δόκιμον. οὕτω καὶ γοὺς διαλεγομένους δεῖ μὴ σπεύδειν ἀδικεῖν
γὸν προσδιαλεγόμενον διὰ γὸ ἀπαταῖν. εἰ δὲ μὴ τοῦτο γίνεται, τότε ὁ ἀγαθὸς
διακρίνεται περὶ τὴν διάλεξιν. νῦν δὲ δι' ὧν λέγει, καὶ τὴν διαφορὰν τῶν σοφιστικοῦ
καὶ ἐρίστικοῦ παραδίδοσιν. οὔτε γὰρ οἱ αὐτοὶ εἰσὶ πάντη. οὔτε πάντη ἕτεροι. ἀλ-
λὰ ἢ μὲν τῶν αὐτῶν λόγων εἰσὶν οἱ φιλέριδες καὶ οἱ σοφιστικοὶ, καὶ ἀμφότεροι ἐκ
φαινομένων ἐνδόξων, μὴ ὄντων δὲ, ἀπὸ χειροῦσιν, εἰσὶν οἱ αὐτοί. ἢ δὲ οἱ μὲν ἐρίστι-
κοὶ χάριν νίκης καὶ τῆς ἀπὸ τῶν παρεστώτων δόξης γοῦτο ποιοῦσιν. οἱ δὲ σοφισταὶ
χάριν χρηματισμοῦ καὶ πηούτου, διαφέρουσιν. ὁ δὲ ἐρίστικος ἔστι πως οὕτως ἔ-
χων πρὸς γὸν διαλεκτικόν. δ τινὰς λαμβάνει. ἐρίστικον καὶ διαλεκτικὸν,
πειραστικὸν καὶ γεωμετρικόν. καὶ φησὶ ὅτι ὡς ἔχει ὁ ψευδογράφος πρὸς γὸν γεω-
μέτρην. ὑποδύεται γὰρ αὐγὸν καὶ ἀπὸ τῶν οἰκείων αὐτῶν ἀρχῶν συλλογίζεται. οὕτω
καὶ ὁ ἐρίστικος ἔχει πρὸς γὸν διαλεκτικόν. προσέθηκε δὲ πῶς. ὅτι ὁ μὲν διαλεκτι-
κὸς καὶ ἐκ δοκούντων καὶ ἐξ ὄντων συλλογίζεται. ὁ δὲ ἐρίστικος, ἐκ δοκούντων
μὲν, μὴ ὄντων δὲ, ἀπὰ φαινομένων. ἐλλιπῶς δὲ ἔχει ἡ λέξις. ἐστὶ δὲ γὸ πηῆρες τοι-
οῦτον. ἐκ γὰρ τῶν αὐτῶν τῇ διαλεκτικῇ παραλογίζεται, ὥσπερ ὁ ψευδογράφος
ἐκ τῶν αὐτῶν τῷ γεωμέτρῃ. πῶς δὲ ἐκ τῶν αὐτῶν, ὅτι καὶ ὁ διαλεκτικὸς ὁ ἐρίστικος
ἐξ ἐνδόξων. ἀπὸ ὁ μὲν ἐκ δοκούντων καὶ ὄντων ὡς εἴρηται. ὁ δὲ, ἐκ δοκούντων μὴ
ὄντων δέ. διὰ τοῦτο οὐκ ἐστὶν ἐρίστικος ὁ ψευδογράφος. ὅτι οὐκ ἐκ δοκούντων.
μὲν ἐνδόξων, μὴ ὄντων δέ. ἀπὸ ἐκ τῶν ἀρχῶν καὶ συμπερασμάτων τῶν ὑπὸ τὴν
τέχνην ψευδογραφεῖ. ὁ δὲ ὑπὸ τὴν διαλεκτικήν. ἤγουν ὁ ἐρίστικος, περὶ μὲν τὰ
ἀπὰ ἤγουν μαθήματα ὅτι ἐρίστικος ἐστὶν οὐκ ἄδηλον. οὐ γὰρ ἐκ τῶν ἀρχῶν τῆς γεω-
μετρίας γὸν κύκλον τετραγωνίζειν πειρᾶται, ἀπὸ ἐκ τινων κοινοτέρων, ὥσπερ
ὁ βρύσων. οὗ ὁ τετραγωνισμὸς ἐστὶ καὶ ἐρίστικος. ὁ δὲ διὰ τῶν μηνίσκων, οὐκ ἐρί-
στικος ὅτι ἐκ τῶν ἀρχῶν τῆς γεωμετρίας τοὺς λόγους ποιεῖται. καὶ διὰ τοῦτο γὸν

μὲν οὐκ ἐστὶ μετενέγκειν ἐπ' ἄλλα. ὅτι τὰς ἀρχὰς τῆς δὲ τῆς ἀποστήμης ἀδύνα-
τον ἐπ' ἄλλην μεταγεῖν. γὸν δὲ τῶν βρύσωνος, πρὸς πολλά. ὥσπερ καὶ ἐν τῇ ἀπο-
δεικτικῇ εἴρηται τῷ ἀριστοτέλει. ὅτι κατὰ κοινόν τε γὰρ δεικνύουσιν οἱ τῶν βρύσωνος
λόγοι, ὃ καὶ ἑτέρῳ ὑπάρχει. διὸ καὶ ἐπ' ἄλλων ἐφαρμόττουσιν οἱ λόγοι, οὐ συγ-
γενῶν. οἷς γὰρ ὁ βρύσων ἀπὸ πρόσον ἐχρύσατο, ταῦτα ἐστὶ μετενέγκειν καὶ ἀπὸ
ποιά. ἐστὶ γὰρ οὕτω εἰπεῖν, γὸ ψιμύθιον καὶ ὠὸν χιόνος μὲν μελάντερον, τιτάνου
δὲ λευκότερον. τὰ δὲ τῶν ὠῶν λευκότερα καὶ μελάντερα, ὁμοίως εἰσὶ λευκά. γὸ
ὠὸν ἄρα καὶ γὸ ψιμύθιον ὁμοίως εἰσὶ λευκά. πάλιν ὁ γλίχων καὶ γὸ σκόροδον πυ-
ρὸς μὲν ψυχρότερα, ἐλαίου δὲ θερμότερα. τὰ δὲ τῶν αὐτῶν θερμότερα καὶ ψυχρό-
τερα, ὁμοίως εἰσὶ θερμά. ὁ γλίχων ἄρα καὶ γὸ σκόροδον ὁμοίως εἰσὶ θερμά. ὥστε
γὸν βρύσωνος συλλογισμὸν δυνάμεθα μετενέγκειν καὶ εἰς ἄλλα. ὅταν εἰσὶν
ἀποκρινόμενοι ἢ ἀκροώμενοι ἀγνοῶσι καὶ οὐκ εἴσασι. δεῖ δὲ ἔξωθεν ὑπακούειν
γὸ, ἀληθῶς ἐκ τινῶν μὲν συνάγεται, γὸ ἀδύνατον. ἐκ τινῶν δὲ, οὐκ ἀληθῶς. ἢ καὶ
οὕτω συμβιβάσεις γὸ ἀποκροώμενον ὡδὶ λέγων. γὸν μὲν τῶν ἀντιφῶντος δη-
λονότι γὸν διὰ τῶν μηνίσκων οὐκ ἐστὶ μετενέγκειν, γὸν δὲ ὡς ἀπὸ κοινοῦ λαμβά-
νοντα, ἐστὶ μετενέγκειν γὸν τῶν βρύσωνος, πρὸς πολλοὺς διαλεγομένῳ, ὅσοι μὴ
ἴσασιν ἀληθῶς γὸ δυναγὸν ἐν ἑκάστου καὶ γὸ ἀδύναγον. ἁρμόζει γὰρ ἀπὸ πολλοὺς
μεταχθῆναι οὗτος. παρὸ ὁ τῶν ἀντιφῶντος. πάλιν ἑαυτὸς συλλογίζηται, ὅτι οὐ συμ-
φέρει περὶ πατεῖν ἀπὸ δείπνου, ὅτι κίνησις οὐκ ἐστὶν ὡς ὁ ζήνων συλλογίζεται
οὐκ ἐστὶν ἰατρικός. οὐ γὰρ ἐκ τινῶν ἰατρικῶν ἐστὶν ἀρχῶν, ἀπὸ ἐκ κοινῶν. διὸ ἐστὶ
καὶ τοῦτον μετενέγκειν εἰς ἄλλα. οἷον, ὅτι οὐ συμφέρει εἰς ἀγορὰν ἢ εἰς διδα-
σκάλειον φοιτᾶν. οὐ γὰρ ἐστὶ κίνησις. ὁ δὲ λέγων μὴ δεῖν περὶ πατεῖν ἀπὸ δεί-
πνου, ἵνα μὴ ἄπεπτα τὰ βρώματα ὑπὸ τῶν φλεβῶν ἕλκηται. ἰατρικὸς, καὶ οὐκ
ἐστὶν εἰς ἄλλα μετενέγκειν. εἰ μὲν οὖν πάντη ὁμοίως εἶχεν ὁ ἐρίστικος πρὸς
γὸν διαλεκτικόν. τὴν αἰτίαν διὰ τούτων λέγει, δι' ἣν ἔχει χώραν ὁ ἐρίστικος
περὶ τὰ μαθήματα. καὶ φησὶ, διὰ γὸ μὴ πάντη ὁμοίως ἔχειν γὸν ἐρίστικον πρὸς
γὸν διαλεκτικόν, ὡς γὸν ψευδογράφον πρὸς γὸν γεωμέτρην, δῆλον ἐντεῦθεν. ὁ
μὲν γὰρ γεωμέτρης, καὶ ὁ ψευδογράφος, ἐκ τῶν αὐτῶν τῆς γεωμετρίας ἀρχῶν
συλλογίζονται. ὁ δὲ ἐρίστικος, καὶ ὁ διαλεκτικὸς οὐκ ἐκ τῶν αὐτῶν. ἀπὸ ὁ μὲν δια-
λεκτικὸς ἐκ τῶν ἐνδόξων. ὁ δὲ ἐρίστικος ἐκ τῶν φαινομένων μὴ ὄντων δέ. ὥστε καθὸ
μὲν περὶ πάντων τῶν προτεθέντων συλλογίζεται καὶ ὁ ἐρίστικος, ὥσπερ καὶ ὁ
διαλεκτικὸς, ἔχει ὁμοιότητα πρὸς γὸν διαλεκτικόν. ἢ δὲ οὐκ ἐκ τῶν αὐτῶν ἀρ-
χῶν, διαφέρει. ἀπὰ πῶς ὁ ἐρίστικος διὰ γὸ μὴ πάντη ὁμοίως ἔχειν, πρὸς γὸν
διαλεκτικόν, ὡς ὁ ψευδογράφος πρὸς γὸν γεωμετρήν, χώραν ἔχει πρὸς τὰ
ψευδογραφήματα. ἢ διότι ψευδογράφημα ἐξ ἐνδόξων γενέσθαι οὐ δύναται,
ἀλλ' ἐκ φαινομένων μὲν τῇ γεωμετρίᾳ, μὴ ὄντων δέ. καὶ διὰ τοῦτο οὐδεὶς δια-
λεκτικὸς ψευδογραφεῖν ἀπὸ χειρεῖ. ἀπὸ ὁ ἐρίστικος. γὸ δὲ, νῦν οὐκ ἐστὶν ὁ διαλε-
κτικὸς περὶ γένος τί ὡρισμένον, οὐ τῆς ἀνομοιότητος ἐστὶ δεικτικόν. ἀπὰ μᾶλλον

τῆς ὁμοιότητος· ἀόριστος γὰρ καὶ ὁ διαλεκτικὸς καὶ ὁ ἐριστικός· εἰ πὼν δὲ ὅτι οὐκ ἔστι περὶ γένος τί ὡρισμένον ὁ διαλεκτικὸς, καὶ διὰ τοῦτο οὐδὲ ἀποδεικτικὸς καὶ συλλογιστικὸς ἑνὸς τινὸς, ἀηὰ περὶ πᾶν ὁ ἐξ ἐνδόξων συλλογιζόμενος· λέγει οὐδὲ τοιοῦτον ἐστὶν οἷος ὁ καθόλου, λέγων καθόλου τὸν θεόλογον· οὐ γὰρ ἐστὶν ὁ διαλεκτικὸς, ἢ ὁ ἐριστικὸς οἷος ὁ καθόλου, εἰ γὰρ καὶ περὶ τὰ αὐτὰ ἀναστρέφεται ὁ διαλεκτικὸς τῷ θεολόγῳ· περὶ γὰρ πάντα τὰ ὄντα ἀμφότεροι, ἀηὰ οὐχ ὡσαύτως· ἀηὰ ὁ μὲν θεόλογος περὶ τὰ κοινὰ καὶ ἐκ τῶν καθ' αὑτὰ καὶ ἢ αὐτὰ τοῖς πράγμασιν ὄντων, τὴν θεωρίαν ποιεῖται· ὁ δὲ διαλεκτικὸς καὶ ἐριστικὸς περὶ τὰ καθ' ἕκαστα διατρίβουσι, καὶ οὐκ ἐκ τῶν καθ' αὑτὰ, ἀηὰ ἐκ τῶν ἐνδόξων ἢ τῶν φαινομένων ἐνδόξων τοὺς λόγους ποιοῦνται· ὅτι δὲ οὐκ ἐστὶν ὡρισμένης τινὸς φύσεως ἡ διαλεκτικὴ καὶ διὰ τοῦτο οὐδὲ ἡ μιμουμένη ταύτην ἐριστικὴ, εἴρηται καὶ ἐν τῷ πρώτῳ τῶν τοπικῶν· δείκνυσι δὲ καὶ ἐνταῦθα λέγων· οὔτε γὰρ ἐστὶν ἅπαντα ἐνεῖνί τινι γένει· τουτέστιν εἰ μὲν οὖν κοινὸν πάντων γένος τὸ ὄν, ἓν ἦν ἴσως λέγειν, ὅτι περὶ τι ὡρισμένον εἰσὶν ἡ διαλεκτικὴ καὶ ἡ πειραστική· ἐπεὶ δὲ δέκα τὰ γένη, οὐκ ἐστὶν λέγειν ὅτι περὶ μίαν τινὰ ὡρισμένην φύσιν εἰσὶν· ἀλλὰ κἂν ἦν φησὶ ἓν κοινὸν γένος πάντων τὸ ὄν· οὐχ οἷόν τε ἦν ὑπὸ τὰς αὐτὰς ἀρχὰς εἶναι πάντα τὰ ὄντα· ἄλλα γὰρ ἄλλων εἰσὶν, καὶ ἄλλαι ὑπ' ἄλλας τυγχάνουσι· τῶν μὲν γὰρ φυσικῶν ἀρχαὶ εἰσὶν, εἶδος στέρησις ὕλη· γεωμετρίας δὲ γραμμαὶ, σημεῖα κύκλοι· ἰατρικῆς, πῦρ γῆ καὶ τὰ μεταξύ, καὶ ἄλλων ἄλλαι· ὥστε κἂν ἓν ἦν πάντων κοινὸν γένος τὸ ὄν, ἐπειδὴ τὰ ὑπὸ τὸ ὄν περὶ ἃ ἡ διαλεκτικὴ στρέφεται διάφοροι φύσεις εἰσίν· ὅτι καὶ ἀρχαὶ αὐτῶν διάφοροι, οὐκ ἂν εἴη ὡρισμένης τινὸς καὶ μιᾶς φύσεως ἡ διαλεκτική· ὥστε οὐδὲ ταύτην ὑποκρινομένη ἐριστική· δείκνυσιν δὲ τὸ προκείμενον καὶ ἄλλως, δυνάμει συλλογιζόμενος οὕτως· ἁι μιᾶς τινὸς φύσεως καὶ ἑνὸς ὑποκειμένου οὖσαι, οὐκ ἐρωτῶσιν· ἡ διαλεκτικὴ καὶ ἡ πειραστικὴ ἐρωτᾶ· ἡ διαλεκτικὴ ἄρα καὶ ἡ πειραστικὴ οὐκ εἰσὶν μιᾶς τινὸς ὡρισμένης φύσεως, οὐδὲ ἑνὸς τινὸς ὑποκειμένου· οὐ γὰρ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων δοῦναι· διὰ τούτου δὲ τὴν μείζονα πρότερον παρασκευάζει· ὅτι ἁι μιᾶς τινὸς φύσεως καὶ ἑνὸς ὑποκειμένου οὖσαι οὐκ ἐρωτῶσιν· εἴη ἂν, τὸ δοῦναι, ἀντὶ τῶν συλλογίσασθαι εἰρηκώς· οὐ γὰρ ἔξεστιν οὐδὲ δυνατὸν ἐστὶ τῷ ἀποδεικνύντι, δεῖξαι τὰς τρεῖς τῶν τριγώνου γωνίας, εἰ ταῦτα εἴη δεικνύμενον, δύο ὀρθῶν ἐλάττονας, ἢ τὴν διάμετρον σύμμετρον τῇ πηευρᾷ· ἡ γὰρ ἀπόδειξις ἐκ τῶν οἰκείων καὶ καθ' αὑτὰ καὶ ἢ αὐτὰ, ὡς ἐν τῇ ἀποδεικτικῇ δέδεικται, τῶν δεικνυμένου γίνεται· ἐκ δὲ τῶν καθ' ἑαυτὰ ὑπαρχόντων ἕν, τι δείκνυται τἀληθές· ὥστε ἐπεὶ οὐκ ἐστὶν αὐτῷ δυνατὸν ἐκ τῶν αὐτῶν καὶ τὸ ἀντικείμενον δεικνύναι, οὐκ ἐρωτᾶ· ὁ γὰρ ἐρωτῶν, οὕτω ἐρωτᾶ ὡς παρεσκευασμένος τὸ ἐναντίον τῶν τεθέντος συλλογίσασθαι, ἢ τὸ δοῦναι ἀντὶ τῶν συγχωρῆσαι, καὶ ὡς ἀληθῶς ἓν λαβεῖν εἴρηται· τῷ γὰρ μέλλοντι δεικνύναι τὰς τῶν τριγώνου τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, οὐκ ἐστὶν λαβεῖν καὶ ὡς ἀληθῶς χρήσασθαι· ὅτι τῶν τριγώνου ἁι τρεῖς γωνίαι ἄνισοι εἰσὶ δύο ταῖς ἐφεξῆς· οὐ γὰρ ἐκ τού-

του, ἀλλ' ἐκ τῶν ἴσας εἶναι δείκνυται τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν· ἢ τὸ οὐκ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων δοῦναι ἴσον ἐστὶ τῷ, οὐ γὰρ ἔξεστιν τῷ ἀποκρινομένῳ, ἐν τοῖς ἀποδεικτικοῖς δοῦναι οἷον ἂν μόριον βούληται τῆς ἀντιφάσεως· συλλογισμὸς γὰρ, τουτέστιν ἀπόδειξις καὶ συλλογισμὸς ἀποδεικτικὸς οὐ γίνεται ἐξ ἀμφοῖν· εἰ μὲν γὰρ σκοπὸν εἶχεν ὁ γεωμέτρης συνάγειν ἀμφότερον· τότε τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν καὶ μὴ ἴσας, τότε ἂν ἠρώτα· ἵνα ἐκ μὲν τῶν λαβεῖν τὰς τρεῖς γωνίας δυσὶ ταῖς ἐφεξῆς ἴσας εἶναι, συναγάγηται τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι· ἐκ δὲ τῶν λαβεῖν μὴ ἴσας εἶναι τὰς τρεῖς δύο ταῖς ἐφεξῆς, τοὐναντίον· ἐπεὶ δὲ μόνης τῆς ἀληθείας ἀντέχεται, καὶ τὸ ὂν συλλογίζεσθαι βούλεται, οὐκ ἐρωτᾶ, ἀλλὰ λαμβάνει δι' ὧν τὸ ἀληθὲς δείκνυται· ὥστε οὐκ ἔξεστι τὸ ψεῦδος ὡς ἀληθῶς τιθέναι· εἰ οὖν ἐρωτήσεις ἐπ' ἐκείνων γίνονται ἐφ' ὧν ἔξεστιν ὁποτερονοῦν τῆς ἀντιφάσεως μόριον δοῦναι· ἐπὶ δὲ τῶν ἀποδεικτικῶν τῶν τοῦτο ἐστὶν, οὐκ ἂν εἴη ἐπὶ τοῦτο τὸ ἐρωτᾶν· εἰ δὲ ἐδείκνυεν εἰ καὶ μὴ πάντα· εἰ πὼν ὅτι ἡ διαλεκτικὴ ἐρωτητικὴ ἐστὶ, καὶ διὰ τοῦτο οὐκ ἀποδεικτική· ὁ γὰρ ἀποδυκνὺς οὐκ ἐρωτᾶ· ὅτι μὴ δὲ τὴν ἀντίφασιν συλλογίζεται, ἀηὰ λαμβάνει τὸ ἀληθές· νῦν αὐτὸ τοῦτο πάλιν κατασκευάζει, ὅτι οὐκ ἀποδεικνύει ὁ διαλεκτικός· φησὶ γὰρ εἰ δὲ ἐδείκνυεν ὁ διαλεκτικὸς, οὐκ ἂν ἠρώτα· εἰ καὶ μὴ πάντα ἀλλὰ τάγε πρῶτα καὶ τὰς οἰκείας ἀρχάς· τὸ γὰρ ἑξῆς τῆς λέξεως ἂν πηῆρες, τοιοῦτον· εἰ ἐδείκνυε φησὶ οὐκ ἂν ἠρώτα· διατί, ὅτι οὐκ ἐρωτᾶ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων, ὡς ἐν τοῖς ἀναλυτικοῖς εἴρηται· ὥστε ἢ περὶ οὐδενὸς ἂν ἠρώτα ὅλως, ἀλλὰ τὰ οἰκεῖα τῶν δεικνυμένου λαμβάνων συνεπέρανεν ἂν τὸ προκείμενον, ἢ εἴπερ ὅλως ἠρώτα· ἀλλ' οὖν περὶ τῶν πρώτων καὶ τῶν οἰκείων ἀρχῶν οὐκ ἂν ἠρώτα· καὶ ἀπότινων ἐνδόξων συνελογίζετο, καὶ ῥοπὴν ἐδίδου πρὸς τὴν συνκατάθεσιν αὐτῶν· οὐδεμία γὰρ ἐπιστήμη περὶ τῶν οἰκείων διαλέγεται ἀρχῶν, ἀηὰ ὡς οὕτως ἐχούσαις χρωμένη, τὸ ἑξῆς συμπεραίνεται, ὅτι δὲ καὶ τὰς ἀρχὰς ὁ διαλεκτικὸς συλλογίζεται, δῆλον· πᾶν πέρας μιᾶ διαστάσει λείπεται, οὗ ἐστὶ πέρας· ὥστε καὶ ἡ στιγμὴ πέρας οὖσα γραμμῆς μιᾶ διαστάσει ἀπολειφθήσεται τῆς γραμμῆς· ἐπεὶ δὲ ἡ γραμμὴ, ὑφ' ἓν διαστατὴ, ἡ στιγμὴ ἐστὶν ἀδιάστατος καὶ ἀμερής· τὸ δὲ, μὴ διδόντος γὰρ, οὐκ ἔτι ἂν εἶχεν ἐξ ὧν διαλέξεται, τοιοῦτον ἐστίν· εἰ γὰρ μὴ ἀποδείκνυσα μὴ ὡς ἀληθέσιν οὔσαις ἐχρῆτο ταῖς ἀρχαῖς· ἀλλ' ἠρώτα· οἷον, εἰ οὕτως ἔτυχεν· ἆρά γε ἁι ἀπὸ τοῦ κέντρου, ἴσαι ἀλλήλαις εἰσίν· ὁ δὲ ἀποκρινόμενος ἀπέφησεν, οὐκ ἂν εἶχεν ἐξ ὧν ἔτι διαλέξεται καὶ δείξει ὅτι εἰσὶν ἴσα· εἰ γὰρ ἁι δείξεις ἐκ τῶν προτέρων καὶ αἰτίων· τῶν δὲ ἀρχῶν οὐδὲν ἐστὶ πρότερον οὐκ ἂν εἶχε δεῖξαι ὅτι ἴσαι εἰσίν· ὥστε διὰ τοῦτο οὐχ ἐρωτῶσιν οἱ ἀποδεικνύντες· ἐπεὶ οὖν ὁ μὲν δεικνύων οὐκ ἐρωτᾶ· ὁ δὲ διαλεκτικὸς ἐρωτᾶ, ὁ διαλεκτικὸς οὐ δεικνύει· ὁ συλλογισμὸς ἐν β σχήματι, οὐδεὶς δεικνύων ἐρωτᾶ· πῶς διαλεκτικὸς ἐρωτᾶ, καὶ τὸ συμπέρασμα, δῆλον· ἡ δ' αὐτὴ ἤγουν διαλεκτικὴ καὶ πειραστική· εἰ πὼν τὴν διαλεκτικὴν περὶ πολλὰ καταγίνεσθαι, νῦν φησὶ ὅτι ἡ αὐτὴ δὲ ἐστὶ

τῇ διαλεκτικῇ καὶ ἡ πειραστική, περὶ πολλὰ γὰρ καὶ αὕτη καταγίνεται. πειραστικὴν δὲ ἐνταῦθα λέγει, οὐχὶ τὴν ἐν τοῖς μαθήμασι γινομένην. αὕτη γὰρ ἐν μόνοις τούτοις ἐστίν, ἀλλὰ τινὰ ἄλλην καθόλου, καὶ ἐνθυμήμασι καὶ ἐν ταῖς ἄλλαις τέχναις εὑρισκομένην. καὶ τὸ προσωπεῖον τῆς διαλεκτικῆς ὑποδυομένην, καὶ ἐπιχειροῦσαν περὶ παντὸς τοῦ προτεθέντος, ὡς καὶ ἡ διαλεκτική, πλὴν οὐκ ἐπιστήμονος, καὶ αὕτη ἐπιχειρεῖ, ὡς ἡ ἐν τοῖς μαθήμασι πειραστική, ἀλλὰ φαινομένως τε καὶ τὸ ὅλον ὡς ἔτυχεν, καὶ ὅτι τοιαύτη ἐστί φησι πειραστική, πρόδηλον ἐξ ὧν ἐπάγει. οὐ γὰρ ἡ πειραστική φησι περὶ ἕν τι καταγίνεται, ὡς ἡ γεωμετρία. ἀλλὰ τοιαύτη ἐστίν, ἣν ἂν ἔχοι καὶ μὴ εἰδώς τις, ὅπερ τοιοῦτόν ἐστι. πολλάκις τινὲς ἀλλήλους πειράζοντες, ἐρωτῶσιν, ὁ ἀδικηθεὶς τὸν ἀδικήσαντα. δέδωκά σοι τόδε, ἢ οὔ; ἐπρίησάς τόδε ἢ οὔ; ἰδοὺ οὖν ἐνταῦθα μὴ εἰδώς τι τὴν ἀντίφασιν διὰ ταύτης πειράζει.

» ἔξεστι γὰρ πεῖραν λαβεῖν καὶ τὸν μὴ εἰδότα τὸ πρᾶγμα τοῦ μὴ εἰδότος. εἴπερ καὶ δίδωσιν, οὐκ ἐξ ὧν οἶδεν, οὐδὲ ἐκ τῶν ἰδίων, ἀλλ᾽ ἐκ τῶν ἑπομένων ὅσα τοιαῦτά ἐστι, τὸ προειρημένον κατασκευάζει τό, ὅτι καὶ μὴ εἰδώς τις ἐστὶ πειραστικός. ὥσπερ γὰρ δικάζονταί τινες ἀτέχνως καὶ δίχα τῶν νόμων γνώσεως, καὶ πεῖραν λαμβάνουσιν ἀλλήλων περὶ οὗ δικάζονται πῶς ἔχουσι πιθανότερον πρὸς τὸ πρᾶγμα καὶ λόγους ἐκφέρουσι μηδὲ ὄναρ γευσάμενοι ῥητορικῆς, οὕτω καὶ συλλογίζονται. καὶ γὰρ καὶ ὁ μὴ εἰδὼς περὶ τοῦ μὴ εἰδότος ἐρωτῶν καὶ λαμβάνων, συλλογίζεται καίπερ ἀγνοῶν τί ἐστι συλλογισμός. συλλογίζεται οὖν καὶ πεῖραν λαμβάνει ὁ μὴ εἰδὼς περὶ τοῦ ὁμοίως αὐτῷ μὴ εἰδότος. ἐκείνου γὰρ διδόντος, συνάγει τι οὗτος ἐκ τῶν δοθέντων. τοῦτο δὲ τρόπον τινὰ συλλογίζεσθαι ἐστίν. εἰσὶ γάρ τινα λίαν ἐναργῶς ἑπόμενα τισίν, ὧν διδομένων μὲν παρὰ τοῦ ἀποκρινομένου, λαμβανομένων δὲ παρὰ τοῦ ἐρωτῶντος, ἐπάγεταί τι ἕτερον ὡς συμπέρασμα, καὶ ἔξεστι τούτου πίστιν λαβεῖν τῷ προσέχοντι τοῖς πολλοῖς, καὶ μάλιστα τοῖς κοινωνοῦσί τινων καὶ λογισμοὺς διδόντων καὶ λαμβανομένων τῆς κοινωνίας. ἐστὶν οὖν ὁ πᾶς τοῦ λεγομένου σκοπὸς τοιοῦτος. ὅτι ἔξεστι καὶ τῷ μὴ εἰδότι τὴν ἀντίφασιν. ταύτην γὰρ πρᾶγμα λέγει. ἀπὸ πεῖραν λαβεῖν τοῦ μὴ εἰδότος αὐτήν. ἐπεὶ καὶ δίδωσιν, οὐκ ἐξ ὧν οἶδεν, ὡς ἐπιστήμην ἔχει, καὶ τῶν οἰκείων τῇ ἐπιστήμῃ, ἀλλ᾽ ἐκ τῶν κοινῶν καὶ συνήθων τοῖς πᾶσιν, ἃ εἰδώς τις οὐκ οἶδε τὴν τέχνην. ἔστι δὲ καὶ τὸ διὰ τοῦ λεγόμενον τοιοῦτον, οὐδὲν κωλύει τὸν εἰδότα τὰ ἑπόμενα τῷ πράγματι περὶ οὗ τὴν πεῖραν λαμβάνει, τὴν τέχνην ἀγνοεῖν. ὥσπερ καὶ οἱ ἐμπειρικοὶ τῶν ἰατρικῶν. οὐδὲν οὖν κωλύει τὴν τέχνην ἀγνοεῖν. ἀλλ᾽ ἐνδέχεται καὶ γινώσκειν καὶ ἀγνοεῖν. ὁ δὲ μὴ εἰδὼς τὰ ἑπόμενα, ἐξ ἀνάγκης ἀγνοεῖ καὶ τὴν τέχνην. ἔστι δὲ ὁ μὲν τὰ ἑπόμενα θεωρῶν, καὶ τὴν τέχνην εἰδώς. ὁ διαλεκτικός. ὁ γὰρ μετὰ τέχνης πειράζων, ὁ διαλεκτικός, ὁ δὲ τὴν τέχνην μὲν ἀγνοῶν, τὰ δὲ ἑπόμενα εἰδώς, ὁ ἐριστικός.

» ὥστε φανερὸν ὅτι οὐδενὸς ὡρισμένου ἡ πειραστική ἐπιστήμη ἐστί. τὸν περὶ πειραστικοῦ καὶ διαλεκτικοῦ λόγον συμπεραινόμενός φησιν, ὅτι ὥσπερ ἡ διαλεκτικὴ οὐκ ὡρισμένα ἔχει τὰ ὑποκείμενα. οὕτως οὐδὲ ἡ ταύτην ὑποδυομένη πειραστική. διὸ καὶ περὶ πάντα ἐστίν. ἔπειτα καὶ τὴν αἰτίαν ἀποδίδωσι δι᾽ ἣν περὶ πάντων θεωρεῖ ὁ πειραστικός. καί φησιν ὅτι εἰσί τινα κοινὰ καὶ πᾶσι γνώριμα. ἃ οὐδὲ ἀφωρισμένης μιᾶς τινός ἐστιν ἐπιστήμης. οἷον, τό, ὕβρισας τὸν δεῖνα, ἢ οὔ. καὶ συνεγένου τῇ τούτου φίλῃ ἢ οὔ. καὶ εἰ μὲν ἐμοίχευσας, ἕπεται τόδε. εἰ δὲ μή, τόδε. ὅτι δὲ ἅπαντες μετέχουσι τῶν κοινῶν, σημεῖον φησὶν εἶναι τὸ πάντας μέχρι τινός, καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι ἐπιχειρεῖν. τὸ δὲ τρόπον τινὰ προσέθηκε, δεικνύων ὅτι τὰ κοινὰ ταῦτα κἂν εἰ ἅπαντες γινώσκομεν, ἀλλ᾽ οὖν οὐχ ὁμοίως. ὁ μὲν γὰρ διαλεκτικὸς οἶδεν ὅτι τὸ ἐρωτώμενον ἀντίφασις, καὶ ὡς ἀνάγκη θάτερον εἶναι ἀληθές. ὁ δὲ πολὺς ὄχλος, ἀτέχνως προΐσχετο τὴν ἐρώτησιν. περὶ δὲ τῆς ἀτέχνου ταύτης πειραστικῆς καὶ ἐν τοῖς εἰς τὴν ῥητορικὴν πονηθεῖσι διειλήφαμεν. τὰ γοῦν κοινὰ ὄντα, εἰ καὶ ἀνεπιστήμονα εἰσὶ καὶ δοκοῦσιν ἔξω λέγειν τῆς ἐπιστήμης, ἀλλ᾽ οὖν ἴσασιν οἱ πολλοί, καὶ κἂν ἀτέχνως μετέχωσι τούτου. λέγουσι γὰρ ὡς; πολλάκις εἰρήκαμεν τὴν ἀντίφασιν, ἧς ἐντέχνως μετέχει ὁ διαλεκτικός.

ἐπεὶ δὲ ἐστὶ πολλὰ μὲν ταῦτα. ἐπειδή φησι τὰ κοινὰ ταῦτα πολλά εἰσι, καὶ ἐν πάσαις ταῖς τέχναις καὶ ταῖς ἐπιστήμαις ταῦτα εὑρίσκονται. οὐ τοιαῦτα δέ εἰσιν. ὥστε μιᾶς τινὸς εἶναι φύσεως καὶ ὑφ᾽ ἓν ἀνάγεσθαι γένος. πῶς γὰρ ἂν καὶ ἀναδειχθεῖσαι, καὶ διὰ τοῦτο οὐ διωρισμένα εἰσίν, ἀλλ᾽ οἷον αἱ ἀποφάσεις, τουτέστιν ἀόριστα. καὶ γὰρ αἱ ἀποφάσεις, ἀόριστοι εἰσίν. ἡ γὰρ λέγουσα ἀπόφασις, τόδε οὐ λευκόν ἐστιν, ἀόριστος. ἐπεὶ γοῦν τὰ μὲν εἰσὶν κοινὰ καὶ ἀόριστα, εἰσὶ δέ τινα καὶ μὴ κοινά, ἀλλ᾽ ἴδια τινὸς ἐπιστήμης, δυνατόν ἐστιν ἐκ τούτων τῶν κοινῶν περὶ πάντων πεῖραν λαμβάνειν, καὶ ἔστι τις τέχνη ἡ ἀπὸ τῶν κοινῶν ἐπιχειροῦσα, καθὸ ἀμελεῖ τι καὶ ἐρωτᾷ. οὐχὶ τοιαύτη δὲ οἷαι εἰσὶν ἐπιστήμονες καί. τὸ δὲ διόπερ ὁ ἐριστικὸς οὐκ ἐστὶν οὕτως ἔχων, καὶ τὰ ἑξῆς. ἀποδοθήσεται μὲν καὶ πρὸς τὰ ἄνωθεν εἰρημένα. ἔλεγε γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ὁ ἐριστικὸς περὶ πολλὰ καταγίνεται ὡς ὁ διαλεκτικός, καὶ ὅτι οὐκ ἔχει ὁμοιότητα πρὸς τὸν διαλεκτικὸν τὴν αὐτήν, ἣν ὁ ψευδογραφῶν πρὸς τὸν γεωμέτρην, καὶ διὰ τοῦτο εὑρίσκεται ἐν τοῖς μαθήμασι. ῥηθήσεται δὲ καὶ πρὸς τὰ προσεχῶς εἰρημένα συναπτόμενον. καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον. ὅτι οὐκ ἔστιν ὁ ἐριστικὸς οὕτως ἔχων πρὸς τὸν διαλεκτικὸν ὡς ὁ ψευδογραφῶν πρὸς τὸν γεωμέτρην. εἰ γὰρ ἦν τοῦτο, καὶ ἦσαν ὡρισμένα αὐτῶν τὰ ὑποκείμενα. ὥσπερ δὴ τὰ τοῦ ψευδογραφοῦντος, οὐκ ἂν ἠδύνατο περὶ παντὸς τοῦ προκειμένου παραλογίζεσθαι. νῦν δὲ διὰ τοῦτο συμβαίνει ἀπατητικὸν αὐτὸν εἶναι, διὰ τὸ περὶ πάντων ἐπιχειρεῖν.

» τρόποι μὲν οὖν εἰσὶν οὗτοι τῶν σοφιστικῶν ἐλέγχων. εἰπὼν πόσοι εἰσὶν οἱ σοφιστικοὶ ἔλεγχοι. καὶ ἀναγαγὼν αὐτοὺς εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν, καὶ εἰς τοὺς διαιροῦντας αὐτοὺς εἰς τὸν πρὸς τοὔνομα καὶ περὶ τὴν διάνοιαν ἀπομαχεσάμενος. ἔτι γε μὴν καὶ διαφορὰς πειραστικῆς καὶ ἐριστικῆς παραδούς. καὶ αὐτὸν δὲ αὖθις τὸν ἐριστικόν, εἰς τὸν σοφιστικὸν καὶ ἐριστικὸν διελών, καὶ διαφορὰς ἑκάστου ἀποδούς, νῦν μέλλων εἰπεῖν πῶς οἱ σοφιστικοὶ ἐλέγχουσί τινα

ψευδόμενον, ἢ παράδοξα λέγοντα, ἢ ἀδολέσχοντα, ἢ σολοικίζοντα, πρῶτον
τοῦτο λέγει ὅτι ὁ διαλεκτικὸς δύναται θεωρηθῆναι περὶ τῶν σοφισμάτων, καὶ
διακρίναι ταῦτα καὶ ἐλέγξαι σοφίσματα ὄντα. γὰρ τάττειν τὰς προτά-
σεις καὶ συντιθέναι, τῆς διαλεκτικῆς ἐστίν. εἰ γοῦν τοῦτο τῆς διαλεκτικῆς, λοι-
πὸν αὐτῆς καὶ γὰρ κρίνειν τὰ σοφίσματα. ἅπασαν τοίνυν τὴν περὶ τῶν σοφιστι-
κῶν ἐλέγχων θεωρίαν, ἡ διαλεκτικὴ μέθοδος κέκτηται. καὶ περὶ μὲν τῶν ἐ-
λέγχων εἴρηται τῶν φαινομένων. πέντε τινῶν στοχάζεσθαι κατ' ἀρχὰς τῆς
παρούσης πραγματείας ἔφη γοὺς σοφιστὰς, τοῦ πειρᾶσθαι ἐλέγχοντας φαίνε-
σθαι, καὶ τοῦ εἰς ψεῦδος ἄγειν γὸν προσδιαλεγόμενον, τοῦ παράδηλον αὐτὸν
ἐλέγχειν λέγοντα. τέταρτον σολοικίζειν ποιεῖν. καὶ ε ἀδολεσχοῦντα ἀποδει-
κνύειν γὸν ἀποκρινόμενον. καὶ περὶ μὲν τοῦ πῶς σπουδάζουσιν ἔλεγχον φαινό-
μενον ποιεῖν, εἴρηκε καὶ γὸν λόγον συγκεφαλαιούμενος καὶ αὐτὸς δηλοῖ τοῦτο.
λέγει γὰρ, περὶ μὲν οὖν τῶν φαινομένων ἐλέγχων εἴρηται, νῦν δὲ δεύτερον αὐτὸς
σπουδάζεται. ἔστι δὲ τοῦτο γὰρ ἀποδεικνύναι ψευδόμενον γὸν προσδιαλεγόμε-
νον διέξεισι. καὶ φησὶ πρῶτον μὲν γίνεσθαι τοῦτο, ἐκ τοῦ πυνθάνεσθαι πῶς, του-
τέστιν κρυπτικῶς. οὐ γὰρ ἁπλῶς τίς προάγων τὴν ἐρώτησιν, ἐλέγξει ψευδόμενον
γὸν ἀποκρινόμενον. ἐκ δὲ τοῦ πῶς ἐρωτᾶν, τουτέστι μετ' ἀποκρύψεως, καὶ διὰ
τῆς τοιᾶς ἐρωτήσεως συμβαίνει τοῦτο μάλιστα. γὰρ μὴ ὑποθέμενον πρόβλη-
μα ὡρισμένον, ποιεῖσθαι τὴν ἐρώτησιν, θηρευτικὸν ἐστὶ τοῦ σπουδαζομένου. οἷον,
εἴ τις θέλων κατασκευάσαι, καλὸν γὸν ἐν ἀγορᾷ συνουσιάζειν, μὴ ἁπλῶς ὁρίσαιτο
γὸ λεγόμενον, ἀλλ' οὕτω πως εἴπη κρυπτικῶς, ἄρα γε δὲ ἁπλῶς καλὸν, καὶ πῆ οὐκ
ἔσται καλὸν, εἶτα τοῦτο δόντος τοῦ ἀποκρινομένου, κατασκευάζεται ὃ βούλεται
ὁ ἐρωτῶν. ὅταν γὰρ μὴ ὡρισμένον ἦ γὸ περὶ οὗ ὁ ἐρωτῶν βούλεται συλλογίσα-
σθαι, ἁμαρτάνουσιν οἱ ἀποκρινόμενοι εἰκῆ λέγοντες. οὐ μὴν ἀλλὰ κἂν ὡρισμένον
εἴη γὸ πρόβλημα, ἔσται πάλιν γὸ εἰς ἄδοξον ἀγαγεῖν γὸν ἀποκρινόμενον, εἴ τις
πολλὰ ἐρωτᾷ, καὶ ἔοικεν ἐλλειπτικὴ εἶναι ἡ λέξις. εἴη δ' ἂν ὁλόκληρος εἰ οὕτω λη-
φθείη, τόγε ἐρωτᾶν πολλὰ κἂν ὡρισμένον ἦ πρὸς ὃ διαλέγεται, εἰς ἄδοξον δύνα-
ται ἀγαγεῖν. ἀπὸ τούτω καὶ τοῦτο κατορθοῖ γὸ σπουδαζόμενον, γὰρ ἀξιοῦν τὸν ἀπο-
κρινόμενον λέγειν τὰ δοκοῦντα τοῖς πολλοῖς, πλὴν ὅταν ἦ φησὶν ὡρισμένον γὸ
πρόβλημα, ἢ τῶν κακουργεῖν οἱ σοφιστεύοντες δύνανται, κἂν πολλὰ τινὰ ἐρωτῶ-
σιν. ἢ τῶν γὰρ ἀπατηθήσεταί τις παρὸ πρότερον, ὅταν ἀόριστον καὶ ἄγνωστον εἴη τῷ
ἀποκρινομένῳ γὸ πρὸς ὃ διαλέγεται. πῶς δὲ φησὶν ἢ τῶνα τότε δύναται κακουρ-
γεῖν. διότι εἰ οἶδεν ὁ ἀποκρινόμενος γὸ πρόβλημα εἰ ἐναχρείη εἰς ἄτοπόν τι περὶ τῷ
ἐρωτῶντι, εὐθὺς ἀπαιτεῖ καὶ φησὶ τί τοῦτο, πρὸς γὸ προκείμενον. στοιχεῖον δὲ
τοῦ τυχεῖν ἢ ψεύδους τινὸς ἢ ἀδόξου. ὅπερ ἄνωθεν ἐλέγετο, καὶ ἔτι γὰρ αὐτὸ φη-
σί. σαφέστερον δὲ νῦν γὸν λόγον μετὰ χειρίζεται, λέγων ἀρχὴν εἶναι καὶ οἱονεὶ στοιχεῖ-
ον τῶν ἐλέγξαι τινὰ ψεῦδος ἢ ἄδοξον λέγοντα, γὸ μὴ δῆλον ποιεῖν γὸ βούλημα,
μὴ δὲ γὸ πρόβλημα τιθέναι καὶ ἐρωτᾶν, ἀλλὰ λέγειν μὴ πειραστικῶς διαλέγεσθαι

ἐρωτᾶν δὲ χάριν μαθήσεως. γὰρ γὰρ λέγειν σε μαθητείας χάριν προσδιαλέγε-
σθαι. πολλὴν παρέξει ἀφθονίαν, εἰς γὰρ ἀπατῆσαι αὐτὸν μὴ προορῶντα γὸ συμ-
βησόμενον. ἔτι πρὸς γὸ ψευδῶς τινὰ ἀπελέγχειν, μέθοδος ἥδε ἥτις καὶ σοφιστι-
κὴ ἔστι. γὰρ γὰρ τιθέναι τί πρόβλημα, εἶτα τούτου μὲν ἀναχωρεῖν, ἐπ' ἄλλα δέ τινα
κατατρίβειν μὴ ἀναγκαῖα τῷ προβλήματι. λόγων δ' εὐπορίαν τῷ ἐρωτῶντι δι-
δόντα, σοφιστικὸν ἔργον ἐστί. ἔστι δὲ τοῦτο ποιεῖν καὶ καλῶς καὶ τοὐναντίον. εἰ μὲν γὰρ
περὶ ἀναγκαῖα τῷ προβλήματι γὸν λόγον μετέφερον, καλῶς ἂν ἐποιοῦν. νῦν δὲ
μὴ ποιοῦντες οὕτω, οὐ δοκοῦσι καλῶς ποιεῖν τὴν μετάφορὰν, ὡς γὰρ ἐν τῷ α τῶν γὰρ
πικῶν ἐδίδαξε, χάριν τεσσάρων ἀναχωρεῖ τις τῶν προβλήματος, ἢ χάριν κρύψε-
ως, ἢ χάριν ἄγκου, ἢ ἐπαγωγῆς χάριν τῶν δοθῆναι γὸ καθόλου, ἢ πρὸς γὸ σαφέ-
στερον γενέσθαι γὸν λόγον. εἰ δὲ μηδὲν τουτῶν γένηται, οὐ καλῶς τέ εἰσι τὰ τοιαῦτα
εἰλήμματα, καὶ σοφιστικὴ ἐστὶν ἡ διάλεξις. πάλιν πρὸς γὸ παράδοξα λέγειν,
σκοπεῖ. πῶς ἄν τις εἰς γὸ φαινόμενον ψεῦδος γὸν ἀποκρινόμενον ἀπενέγκοι
εἰπών. νῦν καὶ περὶ τῆς εἰς παράδοξον ἀπαγωγῆς φησίν. εἰ βούλει γὰρ φησὶ ποιεῖν
γὸν ἀποκρινόμενον παράδοξα λέγειν, σκόπει καὶ ἐξέταζε ὁ ποῖος τίς ἐστὶν οὗτος,
καὶ ποίας αἱρέσεως, καὶ ποίου δόγματος ἀντέχεται τῆς φιλοσοφίας, εἰ περὶ πα-
τητικὸς ἐστὶν ἢ στωϊκός. καὶ εἰ περὶ πατητικός ἐστιν, ἐρεύνα ὅπερ εἶπον οὗτοι παρά-
δοξον καὶ ἐναντίον τοῖς λοιποῖς. οἷον ὅτι πέμπτου σώματος ἐστὶν ὁ οὐρανὸς, καὶ ἐ-
ρώτα γοῦγο. εἶτα παράγαγε τοὺς πολλούς. τούτοις γὰρ ἀνόητον πάντη, καὶ πα-
ράδοξον γὸ τοιοῦτον φανεῖται. ὅτι δὲ ἑκάστη αἵρεσις ἔχει τί παράδοξον, ἐδήλω-
σεν εἰπών. ἔστι γὰρ ἐν ἑκάστοις τι τοιοῦτον. ἀρχὴ δὲ καὶ τοῦ εἰς παράδοξον ἄγειν
γὸν ἀποκρινόμενον, γὸ μὴ ἁπλῶς καὶ ἀνακεκαλυμμένως καὶ φανερῶς καὶ χω-
ρὶς ἀποκρύψεως τιθέναι τὰ τῶν αἱρέσεων παράδοξα, ἀλλὰ μέσον τῶν προτάσε-
ων. ἐπεὶ γὰρ εἰ ἐρωτηθείησαν, ἀνέδην ἴσως οὐκ ἂν αὐτὸ ὁμολογήσειαν διὰ τοὺς
πολλοὺς, δεῖ τὰς παραδόξους τῶν οἷς προσδιαλεγόμεθα ὑπολήψεις, ἃς καὶ
περὶ τοῖς πολλοῖς δογματίζουσι, παραλαμβάνειν ἐν ταῖς προτάσεσιν. οὐκ ἦν
δὲ ἄρα ὁ σταγειρίτης εἰς γὸ παραδιδόναι μέθοδον, τῇ ἀπάτῃ μόνον δεινός. ἀλλὰ
καὶ λύσιν τούτου παρασχεῖν πολὺ δυνατώτερος, εἰ γοῦν τίς ὦ περὶ πατητικὲ φη-
σὶ εἰς παράδοξον σε ἄγει, πέμπτου σώματος γὸν οὐρανὸν λέγοντα, φάθι τούτω
μὴ διὰ γὸν σὸν λόγον, μὴ δὲ διὰ τὰς σὰς ἀποδείξεις τοῦτο συμβῆναι. ἀλλὰ διὰ
γοὺς πολλοὺς προκατειλημμένους ἑτέρω δόγματι. καὶ γὰρ καὶ πᾶς ὁ ἀγωνιζό-
μενος τοῦτο καὶ βούλεται γὸ λέγειν μὴ δι' ἑαυτὸν, καὶ τὴν τούτου ἀπόκρισιν, νο-
μισθῆναι παράδοξον λέγειν, ἀλλὰ διὰ γοὺς πολλούς. ἔτι δ' ἐκ τῶν βουλήσεων
καὶ τῶν φανερῶν δοξῶν. ἔτι περὶ τῶν πῶς ἄν τις παράδοξα ποιήσει λέγειν γὸν ἀπο-
κρινόμενον διδάσκει. φησὶν οὖν ὅτι ἐπειδὴ ἄλλα μὲν πολλάκις βουλόμεθα,
ἄλλα δὲ δοξάζομεν οἷον, βουλόμεθα πάντες μὲν πλουτεῖν, εὐεκτεῖν, δοξάζεσθαι,
δοξάζομεν δὲ καλὸν εἶναι πένεσθαι καὶ νοσεῖν, ὁπόταν οὖν διαλέγει μετὰ τινὸς,
σκόπει εἰ ἀπὸ τῶν βουλήσεων τῶν πολλῶν διαλέγεται. οἷον εἰ λέγει κατὰ τὴν τῶν
πολλῶν βούλησιν καλὸν γὸ ζῆν ἡδέως. καλὸν γὸ πλουτεῖν ἀνεχρῶς. ἐπιχείρει σὺ

ἀπὸ φανερῶν δοξῶν φάσκων. καλὸν εἶναι τὸ σωφρονεῖν. τὸ τεθνᾶναι καλῶς. τὸ πένεσθαι δικαίως. φαίνεται γὰρ ἅπασι τοῦτο, καὶ οὕτως εἰς παράδοξον ἄξεις τὸν προσδιαλεγόμενον. εἰ μὲν οὖν κατὰ τὰς βουλήσεις ἀπόκρισιν διδῶ, τὰς φανερὰς δόξας σοῦ ἀντιτιθέντος αὐτῷ εἰ δὲ κατὰ τὰς φανερὰς δόξας ἀποκρίναιτο, ἀντιπαριστῶντος σοῦ τὰς ἀποκεκρυμμένας. τουτέστι τὰς βουλήσεις. ταύτας τὰς κρυπτὰς καὶ ἀφανεῖς δόξας ἔχομεν. πρεῖστος δὲ τόπος τοῦ ποιεῖν παράδοξα λέγειν. ἔτι πρὸς τὸν εἰς παράδοξον ἄγειν τὸν ἀποκρινόμενον λέγει καὶ φησὶ, ὅτι ἰσχυρός ἐστι τόπος εἰς τὸ εἰς παράδοξον ἄγειν, τὸ ἀπὸ χειρεῖν ἀπὸ τοῦ κατὰ φύσιν καὶ κατὰ νόμον. ὥσπερ καὶ ὁ καλλικλῆς ἐν τῷ γοργίᾳ, καὶ πάντες οἱ ἀρχαῖοι ποιοῦσιν. εἰσάγει γὰρ ὁ πράτων ἐν τῷ ἀπὸ γραφομένῳ γοργίᾳ αὐτοῦ διαλόγῳ τὸν καλλικλῆν λέγοντα τὴν δικαιοσύνην μὴ εἶναι καλήν τε καὶ ἀγαθήν. ὡς μὴ κατὰ φύσιν, ἀγὰ κατὰ νόμον μόνον οὖσαν ἀγαθήν. τὴν δὲ πρεογεξίαν μᾶλλον εἶναι καλήν. ὡς κατὰ φύσιν. διατὶ γὰρ φησὶ τῶν θηρίων, τὰ μὲν πεποίηκεν ἰσχυρὰ, τὰ δὲ ἄτονα. φύσει γοῦν ἐν τούτοις τὸ ἁρπάζειν. καὶ ἕκαστον αὐτὸν μὴ νόμῳ χρώμενον ἀγὰ μόνον φύσει ἑπόμενον, τὸ ἔλαττον αὐτοῦ ἁρπάζει καὶ ἐσθίει. τοῖς δὲ νομοθέταις καλὸν ἐνομίσθη ἡ δικαιοσύνη, διὰ δειλίαν. ὅθεν καὶ τὸν νόμον εὕρημα δειλῶν ἀνῶν τε ἔλεγον. δεδοικότες γὰρ ἵνα μὴ ὑπὸ τῶν ἰσχυρῶν βλάπτονται τοὺς νόμους ἐθέντο. ἀπὸ χείρει οὖν φησὶ ἀπὸ τοῦ κατὰ φύσιν καὶ κατὰ νόμον. καὶ εἰ μὲν ὁ ἀποκρινόμενος ἀπὸ τοῦ κατὰ νόμον ἀπὸ χειρεῖ. σὺ ἀνάπαλιν ἀπὸ τοῦ κατὰ φύσιν. εἰ δ' ἐκεῖνος ἀπὸ τοῦ κατὰ φύσιν. σὺ ἀπάντησον ἀπὸ τοῦ κατὰ νόμον. ἦν δὲ ἄρα τοῖς παλαιοῖς ἤγουν τῷ καλλικλεῖ καὶ τοῖς ἄλλοις σοφισταῖς, μᾶλλον ἀληθὲς καὶ καλὸν τὸ ἀπὸ τῆς φύσεως γενόμενον. τὸ δὲ ὑπὸ τὸν νόμου διαταχθὲν, τῶν πολλῶν καὶ συγκλήτων ἀνῶν θέσις. ἔνια δὲ τῶν ἐρωτημάτων ἔχει τὸ ἀμφοτέρως ἄδοξον εἶναι τὴν ἀπόκρισιν. καὶ ἕτερον τρόπον παραδίδωσι δι' οὗ ἄν τις εἰς παράδοξον ἄγοι τὸν ἀποκρινόμενον. ἔστι δὲ τοιοῦτος. εἰσὶ τινὰ τῶν ἐρωτημάτων κατὰ ἀντίφασιν ἐρωτώμενα. ἐφ' ὧν οἷον ἂν ἀποκριθείη ὁ ἐρωτώμενος ἄδοξα λέγειν νομίζεται, ὡς τὸν ἑτέρου καταφρονῶν. εἰσὶ δὲ τῶν οὕτως ἐρωτωμένων. τὸ μὲν πρὸς τῶν πολλῶν, οὕτως ἔχειν δοξαζόμενον καὶ παρὰ αὐτῶν ποῦ σπουδαζόμενον. τὸ δὲ παρά. τῶν σοφῶν ἐπαινούμενον καὶ ἀπὸ τρεπόμενον. οἷόν τί φημι. ὁ μὲν πολὺς ὄχλος δεῖν δοξάζειν τῷ πατρὶ πείθεσθαι. ὁ δὲ σοφὸς, τοῖς σοφοῖς, καὶ ἀδικεῖσθαι μᾶλλον ὁ σοφὸς λέγει ἢ ἕτερον βλάπτειν. ἐπεὶ οὖν ἐν ἐνίοις τῶν ἐρωτημάτων φησὶ οὐδύναται ὁ ἀποκρινόμενος ἀποκρίνασθαι τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως. οἷον γὰρ ἂν ἀποκρίνηται, ἄδοξα λέγων εὑρεθήσεται. οἷον ἐστὶ τὸ, ἄρα γε δεῖ τῷ πατρὶ πείθεσθαι ἢ τοῖς σοφοῖς. εἰ μὲν γὰρ εἴπη τοῖς σοφοῖς, ἄδοξον μὴ τῷ πατρὶ πείθεσθαι. εἰ δὲ τῷ πατρὶ, πάλιν διά τι μὴ τοῖς σοφοῖς. δεῖν οὖν ἐὰν ἀποκρίνηται ὥσπερ οἱ σοφοὶ λέγουσι καὶ τὸ ἀδικεῖσθαι κρεῖττον ἐρεῖ, μεθάγειν ἀπὸ τοὺς πολλούς. τὸ γὰρ ἀνάπαλιν οὗτοι δοξάζουσιν. εἰ δὲ ὁ οἱ πολλοὶ, ἄγειν ἀπὸ τὰ τῶν σοφῶν. ἔστι δὲ καὶ τοῦτο ὅμοιον τῷ κατὰ

νόμον

νόμον καὶ κατὰ φύσιν. ὁ μὲν γὰρ πολὺς ὁ λεὼς δοξάζει, τοῦτο τῷ νόμῳ ἔοικεν. ἐπεὶ καὶ ὁ νόμος δόξα πολλῶν ἐστίν. ὁ δὲ οἱ σοφοὶ πρεσβεύουσι. τοῦτο καὶ ἡ φύσις αὐτὴ λέγει καὶ ἡ ἀλήθεια. πρὸς δὲ τοῦ ποιῆσαι ἀδολεσχεῖν. στοχάζονται οἱ σοφισταὶ ὡς εἰρήκαμεν, τοῦτο ποιεῖν τὸν προσδιαλεγόμενον, ὡς ἀδολεσχοῦντα δοκεῖν. καὶ δι' ὧν λέγειν αὐτὸ τοῦτο διδάσκει. τέως γοῦν πρότερον τί. ἐστὶ τὸ ἀδολεσχεῖν λέγει εἰρηκέναι. καὶ ἔφθη πρὸς τούτου εἰπὼν ἐν ἀρχαῖς τῆς προκειμένης γραμματείας. ὅτι ἀδολεσχῆσαι ἐστὶ, τὸ πλεονάκις ταυτὰ λέγειν. τοῦτο εἰπὼν ἐπάγει. πάντες δὲ τοιοίδε λόγοι τοῦτο βούλονται ποιεῖν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ὅτι οἱ μέλλοντες ῥηθῆναι παρ' ἐμοῦ λόγοι, τούτου χάριν λέγονται, παριστῶντες πῶς γίνεται τὸ ἀδολεσχεῖν, καὶ πῶς βούλονται ποιεῖν τὸ ἀδολεσχεῖν. γίνεται δὲ τοῦτο ἐπ' ἐκείνων ὅταν ὄνομα ἢ λόγον οὐδὲν διαφέρει εἰπεῖν. οἷον διπλάσιον, καὶ διπράσιον ἡμίσεος, ὃ ἐστὶ λόγος τοῦ διπράσιου. ἐπεὶ γὰρ τὸ διπράσιον πρὸς τὸ ἥμισυ λέγεται. πρός τι γὰρ ὂν αὐτὸ, ὅπερ ἐστὶ πρὸς ἄλλο τὴν ἀναφορὰν ἔχει, καὶ μόνον λεγόμενον διπλάσιον, ποιεῖ συνεξακούεσθαι πάντως, καὶ τὸ ἡμίσεως. εἰ γοῦν ἀντὶ τοῦ εἰπεῖν τὸ ὄνομα ἤτοι τὸ μέγεθος, τότε διπράσιον ἐρεῖς. τὸ δὲ τὸ μέγεθος διπράσιον ἡμίσεος, ἠδολέσχησας. ἐν οἷς γὰρ εἶπας διπράσιον, ἐδήλωσας αὐτό. εἰ γὰρ ἐν τῷ διπράσιῳ τὸ ἥμισυ ἐμφαίνεται, εἰλημμένου ἐνεργείᾳ τοῦ ἡμίσεος, δὶς εἴληπται τὸ ἡμίσεος. εἰ τοίνυν οὕτω λέγεις. τὸ δὲ διπράσιον ἡμίσεος, οὐδὲν ἄλλο λέγεις, ἀγὰ ἢ τόδε διπλάσιον ἡμίσεος, ἡμίσεος. ἅπαξ μὲν γὰρ τὸ ἡμίσεος συνεμφαίνετο ἐν τῷ εἰπεῖν σε διπράσιον. καὶ ἔτι ἐν τῷ προσθεῖναι σε ἐνεργείᾳ τὸ ἡμίσεος. πάλιν ἂν ἀντὶ τοῦ εἰπεῖν διπράσιον τὸ διπράσιον ἡμίσεος ληφθῇ, τρὶς ἔσται εἰρημένον τὸ ἡμίσεος. εἰσὶ δὲ πάντες οἱ τοιοῦτοι τῶν λόγων, ἔν τε τοῖς πρός τι. ἐκ ποίων ἢ καὶ ἐντοῖσιν οἱ ποιοῦντες τὴν ἀδολεσχίαν γίνονται λόγοι, νῦν προστίθησι, καὶ φησὶν ὅτι ἐν ἐκείνοις τῶν πρός τι οἱ τοιοῦτοι τῶν λόγων γίνονται, ἐφ' ὅσων μὴ μόνον τὰ γένη πρός τι ἀποδίδοται ἄλλο, ἀλλὰ καὶ αὐτά. οἷον ἡ ἀπθυμία ἡδέος ἐστὶν ἀπθυμία, καὶ πρός τι λέγεται. ἀλλὰ καὶ ἡ οἷον γένος αὐτῆς ἡ ὄρεξις πρός τι καὶ αὐτὴ λέγεται, ὀρεκτοῦ γὰρ τινος ὄρεξις ἐστὶ, ἀλλὰ καὶ ἐν ἐκείνοις ὅσων μὴ ὄντων πρός τι κατηγορουμένων δὲ κατὰ οὐσίας τινὸς, παραλαμβάνεται ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ ὑποκειμένη αὐτοῖς οὐσία, καὶ ὅλως ἐν ἐκείνοις ὧν ἕξεις εἰσὶν ἢ πάθη καθ' αὑτὸ κατηγορούμενα τῶν ὑποκειμένων. οἷον ἡ σιμότης πάθος ἐστὶ καθ' αὑτὸ κατηγορούμενον τῆς ῥινὸς, καὶ ἐν τῷ λόγῳ αὐτοῦ παραλαμβάνεται, καὶ τὸ ὑποκείμενον καθ' οὗ κατηγορεῖται ἡ ῥίς. ὁ γὰρ αὐτὴν τὴν ἐν ῥινὶ σιμότητα ὁριζόμενος, οὕτω λέγει, σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί. ἠδολέσχησεν οὖν οὕτω πῶς ὁρισάμενος. εἰπὼν γὰρ σιμότητα καὶ ῥίνα συνέλαβε. προσθεὶς δὲ πάλιν ἐνεργείᾳ τὸ ἐν ῥινὶ, δὶς τὸ ῥὶς, ῥὶς ἔλαβε. τοιοῦτος ἐστὶ καὶ τὸ ἀριθμὸς ἐστὶ μέσον ἔχων τὸ πρωτῶν. ἐπειδὴ γὰρ καὶ τοῦτο πάθος ἐστὶ τοῦ ἀριθμοῦ κατηγορούμενον, ὁπηνίκα τὸ πρωτῶν ὁριζόμενος, τὸ ἀριθμὸς παραλήψομαι, δὶς εἰλήφειν, πρωτῶν γὰρ εἰπὼν τρόπον τινὰ καὶ ἀριθμὸν

δέδωκεν ὁ ἐρωτῶν. εἰ γὰρ μὴ οὕτω ποιήσει, ἄδηλος ἐστὶ κἄν τε ἐλήλεκται, κἂν οὔ. οὐκοῦν ἐπειδὴ ἄδηλος ἐστὶν εἰ ἐλέγχεται ὁ μὴ διαίρεσιν τοῦ ὁμωνύμου ἢ ἀμφιβόλου λόγου ποιούμενος, δέδωται τῷ ἀποκρινομένῳ τὸ διελεῖν. εἰ μὴ οὗτος ὁ ἀποκρινόμενος, ὃ φημὶ διορίζει, τὸ ἐρωτώμενον, ἤγουν μὴ διαιρεῖ, ἀλλ' ἁπλῶς λαμβάνει, ἁμαρτάνει, καὶ αὐτὸς ἑαυτῷ τοῦ φαινομένου ἐλέγχεσθαι αἴτιός ἐστι. συμβαίνει δὲ ἐντεῦθεν ὡς εἰ μὴ αὐτὸς ἐλήλεγκται, τόνδε λόγον αὐτοῦ ἐλήλεγχται. οἷον εἰ ἐρωτηθείη τίς. ἆρα τε ὁ κύων καύματα ποιεῖ, εἶτα ὁ ἀποκρινόμενος εἴπη ναί, πρὸς τὸν ἀστρῶον ἀποβλέψας, μὴ διέληται δὲ τὰ τοῦ κυνὸς σημαινόμενα, αὐτὸς μὲν δοκεῖ μὴ ἐλέγχεσθαι, ὡς τὸν ἀστρῶον δοὺς καύματα ποιεῖν. ἡ δὲ διάλεξις αὐτοῦ καὶ ἀπόκρισις οὐκ ἂν τοῦτο ἐκφύγη, ἅτε μὴ διελοῦσα. συμβαίνει δὲ φησὶ πολλάκις σύνορῶντα τὸν ἐρωτώμενον καὶ εἰδότα ὅτι ὁμώνυμός ἐστιν ἢ ἀμφίβολος ὁ λόγος ὁ ἐρωτώμενος, μὴ ποιεῖσθαι διαίρεσιν τοῦ ἐρωτωμένου, ὀκνοῦντα πρὸς τοῦτο καὶ ἀναδυόμενον, ἵνα μὴ δόξῃ δύσκολος εἶναι ἅτε συνεχῆ ποιούμενος τὴν διαίρεσιν. ἐπεὶ γὰρ οἱ σοφισταὶ κατ' ἐνδελεχισμὸν ἐρωτῶσιν ὁμώνυμα καὶ ἀμφίβολα τὰ ἐρωτήματα. εὐλαβεῖται ὁ ἀποκρινόμενος, ἵνα μὴ δόξῃ δυσχερὴς, εἰ ἅπαντα ἀπὸ χειρείη διαιρεῖν. εἶτα οἰομένων τῶν ἀποκρινομένων μηδὲν ἄτοπον ἐντεῦθεν συμβῆναι εἰ χωρὶς διαιρέσεως δώσουσι τὸ ἐρωτώμενον, ἀπαντήσει τι πολλάκις παράδοξον. ὥς τε φυλακτέον τῷ ἀποκρινομένῳ τοιαύτην ποιεῖσθαι ἀπόκρισιν, καὶ ἐπεὶ ἐφεῖται αὐτῷ διαιρεῖν τὰ ἐρωτώμενα, μὴ ὀκνητέον πρὸς τοῦτο. εἰ δὲ τὰ δύο ἐρωτήματα μὴ ἓν ποιεῖ τίς. νῦν διδάσκει τὴν γένεσιν τῆς ὁμωνυμίας καὶ τῆς ἀμφιβολίας, καὶ φησὶν ὅτι ἀπὸ τῶν τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν ταύτας γίνεσθαι. ὡς γὰρ ἐν ἐκείνῳ πλείω ὄντα τὰ ἐρωτήματα, ἓν ἔχει τὸ κατηγορούμενον, οὕτως καὶ ὧδε, εἰ καὶ ἓν ἐστιν ὄνομα, ἀλλ' οὖν πλειόνων ἐστὶ σημαντικόν. εἰ γοῦν μὴ ἦν ὁ τὰ πλείω ἐρωτήματα ἓν ποιῶν παραλογισμὸς, οὐκ ἂν ἦν ὁ περὶ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν. εἰ δὲ μὴ ἦν ἀμφιβολία, ἢ ὁμωνυμία, ἢ ἀληθὴς ἐγίνετο ἔλεγχος, ἢ οὐδ' ὅλως ἐγίνετο. οἷον εἰ μὴ ἦν τὸ κύων ὄνομα πολλῶν σημαντικόν, ἀλλ' ἕν τι ἐδήλου, οἷον τὸν ἀστρῶον μόνον, εἰ ἠρωτήθη τις, ἆρα ὁ κύων ὑλακτεῖ, ἀπέφησε δὲ ὁ ἐρωτώμενος, ἠλέγχη ἂν κυρίως. οὐχί. ἐπεὶ γὰρ μόνον τὸν ἀστρῶον ὁ κύων σημαίνει, εἰ ἐρωτηθείη ἆρα ὑλακτεῖ, καὶ ἐρεῖ ὅτι οὐχί, οὐδ' ὅλως ἐλήλεγκται. εἰ δὲ κατέφησεν, ἠλέγχη ἄν. πῶς δὲ ὁ ὁμώνυμόν τι ἐρωτῶν πλείω ἐρωτήματα ἐρωτᾶν δείκνυσι. τί γὰρ διαφέρει τὸ εἰπεῖν ἆρα ὁ καλλίας καὶ ὁ θεμιστοκλῆς μουσικοί εἰσι, τὴν εἰπεῖν ἆρα ὁ κύων ὑλακτεῖ. ἀλλὰ δὲ ἀμφοτέρων πλείω τὰ πράγματα. πᾶν γὰρ τὸ ἐρωτώμενον εἰ μὴ ἁπλοῦν εἴη, ἀλλ' ὁμώνυμον καὶ πλείω δηλοῖ τοῦ ἑνὸς ἐν ἐρωτήσει παραλαμβανόμενον, πολλὰ ἐρωτᾶ. εἰ οὖν μὴ ὀρθὸν πρὸς δύο ἐρωτήσεις. ἐπειδὴ ἀνοίκειόν ἐστι τῆς διαλεκτικῆς τὸ πρὸς δύο ἐρωτήσεις μίαν ποιεῖσθαι ἀπόκρισιν, μὴ δὲ τῶν ὁμωνύμων λοιπὸν μία ἔσται ἀπόκρισις. ὡς γὰρ

εἰρήκαμεν ὁ ὁμώνυμον ἐρωτῶν, πλείω ἐρωτᾶ. ἀλλ' οὐδὲ ἐὰν κατὰ πάντων τῶν πραγμάτων τῶν ὑπὸ τοῦ ὁμωνύμου ὀνόματος σημαινομένων ἐστὶν ἀληθὲς τὸ κατηγορούμενον. οἷον εἰ ἐρωτήσει τις, ἆρα ὁ αἰὰς ζῶον δίπουν, τοῦτο ἀληθὲς μέν ἐστι καὶ κατ' ἀμφοτέρων τῶν αἰάντων. οὐδεῖ δὲ ἀπόκρισιν μίαν ποιῆσαι καὶ διὰ τὸν τῆς προτάσεως λόγον τὸν λέγοντα μιᾶ ἐρωτήσει μία ἔστω ἀπόκρισις. ὧδε δὲ διτταὶ οὖσαι αἱ ἐρωτήσεις, οὐχ ἁπλῶς ἀλλὰ δέχονται τὴν ἀπόκρισιν, καὶ ἵνα μὴ σύνεντιθέντες μίαν ἀπόκρισιν διδόναι ἀλλὰ τινῶν ἀληθῶν ἐρωτημάτων πολλῶν, καὶ ἀλλὰ ἄλλων μὴ τοιούτων, πάθωμεν τοῦτο. οὐδὲν γὰρ φησὶ διαφέρει τὸ ὁμώνυμόν τι ἐρωτῆσαι, καὶ τὸ τοιαύτην προσαγαγεῖν ἐρώτησιν, πότερον ὁ κορίσκος καὶ ὁ καλλίας οἴκοι εἰσὶν ἢ οὔ. κἂν γὰρ ἀληθὲς εἴη τὸ εἶναι αὐτοὺς οἴκοι, κἂν τὸ μὴ ἀμφότερον πολλαὶ ἐρωτήσεις. οὐ γὰρ εἰ ἀληθὲς εἴη τὸ εἰπεῖν οἴκοι αὐτοὺς εἶναι, μία ἐστὶν ἐρώτησις. τοῦτο δ' ὅμοιον ὡς εἰ καὶ τὸ αὐτὸ ὄνομα.

τοῦτο φησὶ τὸ πολλὰ ἐρωτηθέντα ἐρωτήματα μίαν ἀπόκρισιν δοῦναι, ταυτόν ἐστιν τῷ ἐρωτηθέντι τί ὁμώνυμον. τούτου γὰρ ἐστὶ δηλωτικὸν τὸ, τὸ αὐτὸ ὄνομα τεθείη τοῖς ἑτέροις. διαφόροις γὰρ πράγμασι τὸ αὐτὸ καὶ ἓν ἐπίκειται ὄνομα. τὸ γοῦν πρὸς πολλὰ ἐρωτήματα ποιήσασθαι μίαν ἀπόκρισιν, ταυτόν ἐστι τῷ ἐρωτηθέντι τί ὁμώνυμον, ἀπόκρισιν μίαν δοῦναι. ὥς περ οὖν οὐ διαλεκτικοῦ τὸ πρὸς πολλὰς ἐρωτήσεις μίαν ἀπόκρισιν ποιεῖν, οὕτω καὶ τὸ πρὸς ὁμώνυμόν τι τὸ αὐτὸ ποιεῖν. εἰπὼν δὲ μὴ δεῖν ἀλλὰ τῶν ὁμωνύμων τὸ ναὶ ἢ οὐ φάσκειν, τὴν αἰτίαν τοῦ μὴ ἀποκρίνεσθαι τὸν οὕτως ἀποκρινόμενον καὶ τὸ ναί, ἢ τὸ οὐ λέγοντα, τίθησιν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. ἐπειδὴ πολλαχῶς λέγεται τὸ πρᾶγμα, καὶ ἀδύνατόν ἐστι πάντα ὧν ἐστι τὸ ὄνομα σημαντικὸν διὰ τοῦ ναί, ἢ τοῦ οὐ δηλῶσαι, εὔδηλον ὡς οὐκ ἀποκρίνεται. εἰ γὰρ ἐπ' ἄλλου μὲν ὁ ἐρωτῶν ἤρετο. ὁ δὲ ἀποκρινόμενος ἐπ' ἄλλου καταφήσει ἢ ἀποφήσει, οὐδὲν ἀπεκρίθη. οὐδὲ γὰρ ὁ εἰπὼν ἀπόκρισιν μίαν ἀλλὰ τῶν ὁμωνύμων κυρίαν ἀπόκρισιν ἐποίητατο ἀλλ' εἴρηκε μέν τι καὶ ἔδοξε τοῖς πολλοῖς ἀπὸ τοῦ εἰπεῖν ναὶ ἢ οὐ. ἀπόκρισιν δὲ οὐδέδωκεν. ἀπόκρισις γὰρ ἐστιν ὅταν ὅτις ἐρωτηθῇ, τοῦτο αὐτὸς ἢ δῷ ἢ ἀπαρνήσετο, ἂν δ' ἄλλο μὲν ὁ ἐρωτῶν ἔροιτο, ἄλλο δὲ ὁ ἀποκρινόμενος φήσῃ ἢ ἀποφήσῃ, εἴρηκε μέν τι, καὶ οὕτως ὥς περ ἂν εἰ αὐτὸς προαιρούμενος εἶπεν, ἀπόκρισιν δὲ οὐδέδωκε. τὸ δὲ ἀλλ' ἀξιοῦνται πῶς ἐν τοῖς διαλεγομένοις. ἴσον ἐστὶ τῷ ἀλλ' εἰ καὶ μὴ κατ' ἀληθὲς ἀποκρίνονται ἐν τοῖς ὁμωνύμοις τὸ ναί, ἢ τὸ οὐ λέγοντες, ὅμως ἀξιοῦνται τουτέστι νομίζονται, καὶ ὑπολαμβάνονται, ὅτι ἀπόκρισιν ἐποιήσαντο. νομίζονται δὲ φησὶ ἀποκρίνεσθαι, διὰ τὸ λανθάνειν τοὺς ἀκροατὰς τὰ συμβαίνοντα, ἤγουν τὸ μιᾶς ἐρωτήσεως μίαν ἀπόκρισιν εἶναι, καὶ τῶν πολλῶν πολλάς, ἢ μάλιστα διὰ τὸ λανθάνειν αὐτοὺς, ὅτι ἐν τοῖς ὁμωνύμοις οὐκ ἔστιν ἀπόκρισις. τὸ γὰρ εἶπε συμβαίνον. συμβαίνει γὰρ ἐν τοῖς ὁμωνύμοις τὴν νομιζομένην ἀπόκρισιν μὴ εἶναι ἀπόκρισιν. ὅπερ δὲ ἐν τῷ ὀγδόῳ τῶν τοπικῶν εἶπε, τοῦτο καὶ ἐνταῦθα φησί. ὅτι πολλάκις ἀπὸ

κρίσεις δοτέον ψευδεῖς μᾶλλον ἢ ἀληθεῖς. εἴπερ εὐχερέστερον ταύτας ὁ ἐρω-
τῶν δέξαιτο. ἐπεὶ γὰρ φησὶ ὥσπερ ἔλεγχοί τινες, οὐκ εἰσὶ μὲν ἀληθῶς, δοκοῦσι δὲ
εἶναι. τὸν αὐτὸν δὴ τρόπον καὶ λύσεις εἰσί τινες οὐκ οὖσαι μὲν, δοκοῦσαι δέ τισιν,
ἃς προκομιστέον μᾶλλον ποτὲ, ἤπερ τὰς ἀληθεῖς. πρὸς τὸν πάντη γὰρ ἀνθιστάμε-
νον ὡς τὸ αὐτὸ ἔχει παράγγελμα, διὰ πάντων δεῖ ἀντιτάττεσθαι. ἀνὰ μὴ δὲ
ἁπλῶς φησὶ ἀποκρίνεσθαι λέγει δεῖ. ἀνὰ ὅπερ καὶ αὐτὸς πολλάκις εἶπε, τὸ ἴσως
λεκτέον καὶ τὸ ἔστω καὶ τὸ δοκεῖ. οὐδὰ μῶς γὰρ καὶ τούτων προσλεγομένων δυ-
νήσεται γινέσθαι ὁσοφιστικὸς ἔλεγχος. τοῦτον γὰρ καλεῖ παρεξέλεγχον, διὰ τὴν
ἐξωεῖναι τοῦ κυρίως καὶ ἀληθοῦς ἐλέγχου. ἐπεὶ δὲ πῶς ἀντεῖται τὸ ἐν ἀρχῇ
δῆλον. ἐπειδὴ φησὶ δῆλόν ἐστι τί τὸ ἐν ἀρχῇ ἀντεῖσθαι. τότε δὲ οἰόμεθα τὸ ἐν
ἀρχῇ ἀντεῖσθαι καὶ λαμβάνειν τὸν ἐρωτῶντα, ὅταν ἢ σύνεγγυς καὶ ταυτὸν τὸ
ἐρώτημα τῷ προβλήματι, λέγει ἀλλὰ τῶν τοιούτων, εὐθὺς ἀναιρεῖν ἔνια τῶν ἐρω-
τημάτων καὶ μηδόλως συγχωρεῖν λέγοντος τοῦ ἀποκρινομένου. τῷ ἐρωτώντι
τὸ ἐν ἀρχῇ ἀντεῖσθαι. ἐγγὺς γὰρ εἰσὶ καὶ ταυτὰ τὰ ἐρωτώμενα τῷ προκειμένῳ
προβλήματι. οἷον εἰ προκείμενον συμπεραινθῆναι τὴν ἡδονὴν ἀγαθὸν ὄρροιτο. ἆ-
ρά γε ἡ χαρὰ ἀγαθὸν, οὐ δοτέον. ἀνὰ ῥητέον ὅτι τὸ ἐν ἀρχῇ ἀντεῖ. ἔτι ὅταν τις
ἀξιοῖ τι συμπέρασμα ψευδές τε καὶ ἄδοξον, ὃ ἐξ ἀνάγκης ἐκ ψευδῶν σύνηχεν
προτάσεων. τὸ γὰρ ψευδὲς ἀεὶ ἐκ ψευδῶν. τοῦτο καὶ ἀλλὰ τῶν προτάσεων, ῥητέ-
ον ὅτι ψευδεῖς ἢ ἄδοξοι ἁι προτάσεις ἁι τὸ τοιοῦτον συναγοῦσαι συμπέρασ-
μα. τὰ γὰρ συμπεράσματα ἅπερ αὐτὸς συμβαίνοντα εἶπε τῆς αὐτῆς εἰσὶ θέσε-
ως. θέσεις δὲ λέγει νῦν τὰς προτάσεις. ὁποῖαι γὰρ εἰσὶν ἁι προτάσεις. τοιαῦται
καὶ τὰ συμπεράσματα. ὥστε εἴπερ ἄδοξον τὸ συμπέρασμα, ῥητέον ὅτι καὶ ἁι
προτάσεις ἄδοξοι. ἔτι ὅταν τὸ καθόλου μὴ ὀνόματι ληφθῇ. ὡς ἐν παρα-
βολῇ λαμβάνεσθαι ὃ βουλόμεθα λαβεῖν, ἐν τῷ ἢ τῶν τοπικῶν εἴρηκεν, ὅταν
ὃ βουλόμεθα λαβεῖν οὕτως ὀρωτῶμεν, ὡς οὐκ αὐτὸ θέλοντες, ἀλλὰ δι' αὐτοῦ
ἄλλο βουλόμενοι λαβεῖν. οἷον βουλόμενοι τὴν ἐγκράτειαν λαβεῖν ὅτι ἀρετή
ἐστι, μὴ εἴποιμεν, ἆρά γε ἡ ἐγκράτεια ἀρετή ἐστιν. ἀνὰ ἆρά γε ὥσπερ ἡ ἐγκράτεια
ἀρετὴ, οὕτω καὶ ἡ ἀνδρεία καὶ ἡ δικαιοσύνη. εἰ οὖν καὶ ἐνταῦθα παραβολὴν τοῦ-
το λέγει, εἴη ἂν τοῦτο λέγων, ὅτι ὅταν τὸ καθόλου μὴ ὀνόματι, τουτέστι μὴ αὐτὸ
καθ' αὐτὸ ληφθῇ, μὴ δ' ὡς δι' αὐτό. ὀνόματι γὰρ λαμβάνεταί τι, ὅταν τὸ ὄνομα.
αὐτόθεν αὐτὸ ληφθῇ. οἷον τῶν ἐναντίων μία ἡ ἀνιστήμη, ἢ ἡ ἐγκράτεια ἀρετή.
παραβολῇ δὲ ὅταν λέγω καὶ μὴ δι' ἑαυτὸ, ἀλλ' ἄλλου χάριν. ὅταν οὖν τὸ κα-
θόλου παραβολῇ ληφθῇ, ῥητέον, ὅτι οὐχ οὕτω δέδωκεν, οὐδ' ὡς ἔδωκεν ἔλαβεν.
οὐ γὰρ τὴν ἐγκράτειαν δέδωκεν ἀρετὴν, ἀνὰ τὴν ἀνδρείαν. εἰ δὲ μὴ οὕτως εἴλη-
πται τὸ τῆς παραβολῆς, εἴη ἂν λέγων, ὅταν τὸ καθόλου μὴ ὀνόματι ληφθῇ, ἀνὰ
παραβολῇ καὶ λόγῳ, ῥητέον τὸ καὶ τὸ, μὴ ὀνόματι δὲ ἀνὰ λόγῳ ληφθήσεται τὸ
καθόλου οὕτως. ἆρά γε ἡ ἔλαφος τετράπους οὖσα, διχηλή ἐστι. ναί. τί δὲ ἡ ἀίξ; ναί.
τί δὲ ὁ βοῦς; ναί. τί δὲ τὸ πρόβατον; ναί. καὶ πᾶν ἄρα ὃ ἂν ἢ τοιοῦτον, διχηλόν

ἐστιν. ἀλλὰ μὴν ὁ ἵππος οὐ διχηλὸς τοιοῦτος ὤν. οὐκ ἄρα πᾶν διχηλόν. ἐνταῦ-
θα τὸ πᾶν ὃ ἂν ἢ τοιοῦτον διχηλόν ἐστι, λόγῳ εἴληπται, λόγος γὰρ τὸ, πᾶν ὃ ἂν
ἢ τοιοῦτον, οὐκ ὄνομα. εἰ δὲ εἶπε πᾶν ἄρα τετράπουν, ὀνόματι τὸ καθόλου ἔλα-
βε. τὸ γὰρ τετράπουν ὄνομα, ἀλλὰ τούτου δὲ ῥητέον, ὅτι τὸ πᾶν ἄρα τοιοῦτον, οὐκ
ἀλλὰ τοῦ τετράποδος δέδωκεν, ἀλλ' ἀλλὰ τοῦ κερασφόρου. πᾶν γὰρ κερασφόρον δι-
χηλόν. κωλυόμενον δὲ διὰ τούτων, δεῖ τρέπεσθαι ἀλλὰ τὸ ἐλέγχειν αὐτόν. ὅτι οὐ
δέδειχεν οὐδὲ συλλελόγισται κατὰ τὸν εἰρημένον διορισμὸν, λέγων διορισμὸν,
τὴν ὁμωνυμίαν, τὴν ἀμφιβολίαν, τὴν διαίρεσιν, τὴν σύνθεσιν, καὶ τοὺς λοιποὺς
τρόποις. παρ' ὅσους ὁ φαινόμενος ἔλεγχος γίνεται. δείξομεν οὖν αὐτὸν μὴ ἀπο-
δεικνύντα μὴ δὲ συλλογιζόμενον, ἢ ἐλέγχοντα, ἐμφανίζοντες τὸν τρόπον τῆς
παραλογισμοῦ. ἐν μὲν οὖν τοῖς κυρίως λεγομένοις ὀνόμασι. ἐν τοῖς ὀνό-
μασι φησὶ τοῖς κυρίως λεγομένοις καὶ αὐτοτελῶς. κυρία γὰρ ἐκεῖνα λέγει ὀνό-
ματα, τὰ οἰκεῖα τοῖς ὑποκειμένοις πράγμασιν, οἷον, ἄνθρωπος ἵππος, ἀνάγ-
κη ἀποκρίνεσθαι ἢ ναὶ, ἢ οὐ. ἢ ἁπλῶς καὶ χωρὶς διαιρέσεως, ἐὰν μὴ ἢ ὁμώνυ-
μον, ἢ ἐὰν ἢ μετὰ διαιρέσεως. ἐν δὲ τοῖς κολοβῶς ἠρωτημένοις, οὐ δεῖ ἁπλῶς, ἢ ναὶ,
ἢ οὐ ἀποκρίνεσθαι. συμβαίνει γὰρ περὶ τούτου ἔλεγχος. σύνεπινοούμενα δέ ἐστι
τὰ συμνημονευόμενα τοῖς προηρωτημένοις. οἷον, ὃ ἂν ἢ ἀθηναίων, ἆρα κτῆμά ἐ-
στιν ἀθηναίων; ναί. τί δὲ ὁ ἄνθρωπος τῶν ζώων; ναί. ὁ ἄνθρωπος ἄρα κτῆμα τῶν ζώων
ἐστι σύνεπινοεῖν γὰρ ἀναγκάζει κἀνταῦθα τὸ κτῆμα. ὡς γὰρ ὃ ἂν ἢ ἀθηναίων κτῆ-
μά ἐστιν ἀθηναίων. οὕτω καὶ ὃ ἂν ἢ τῶν ζώων, κτῆμα ἔσται τῶν ζώων. ἔστι δὲ τῶν
ζώων ὁ ἄνθρωπος, κτῆμα ἄρα ἐστὶ τῶν ζώων. ἐνταῦθα γοῦν ὀρωτηθέντος κολο-
βῶς τοῦ προβλήματος σύνεβη ὁ παραλογισμός. ἔδει γὰρ εἰπεῖν, ἄρα ὃ ἂν ἢ ἀ-
θηναίων κτῆμά ἐστιν ἀθηναίων, καὶ ὃ λακώνων κτῆμα, κτῆμα τούτων. ὅταν
δὲ δυοῖν ὄντοιν. τοῦτο δῆλον ἔσται εἰ ἀναμνησθείημεν ὧν εἶπεν ἐν τῷ ἐλέγ-
χῳ τῷ γινομένῳ περὶ τὸ ἑπόμενον. εἶπε δὲ τῷ μὲν γενομένῳ ἕπεσθαι τὸ ἀρχὴν ἔ-
χειν, καὶ ὄντος τοῦ γενομένου ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ ἀρχὴν ἔχειν. εἰ γὰρ γέγο-
νεν καὶ ἀρχὴν ἔσχεν. οὐ μὴν εἰ ἀρχὴν ἔχει, καὶ γέγονε. πολλαχῶς γὰρ ἡ ἀρχή. ἀλλὰ
τούτων δεῖν φησὶν ὀρωτώμενον, τὸ μὲν μερικώτερον, τοῦτον γὰρ εἶπεν ἔλαττον,
διδόναι καὶ συγχωρεῖν. ἀληθὲς γάρ. τὸ δὲ ἕτερον μὴ διδόναι. τοῦτο γὰρ δεῖ προ-
συπακούειν, ἔλαττον δὲ καὶ μερικώτερον τὸ γεγονὸς, τοῦ ἀρχὴν ἔχειν, ὡς καὶ
ὁ ἄνθρωπος τῶν ζώου. ἀνοῦ μὲν γὰρ ὄντος, ἔστιν ἐξ ἀνάγκης καὶ ζῶον. ζώου δὲ ὄντος
οὐκ ἐξ ἀνάγκης καὶ ἄνος. τοῦτο γοῦν ἅτε καθόλου ὂν οὐ συγχωρητέον. τοῦτο γὰρ
δηλοῖ τὸ ὀρωτώμενον πότερον, δεῖ τὸ ἔλαττον διδόναι, ἢ γοῦν σχηματισθήσης τῆς
ὀρωτήσεως κατὰ τὸ πότερον, δεῖ διδόναι τὸ μερικόν. ὁμοίως δὲ καὶ ἀλλὰ ὅρων καὶ
συλλογισμῶν τὰ ἐλάττονα καὶ μερικὰ συγχωρητέον ἀεί. χαλεπώτερον γὰρ
ἐκπηδιόνων ἢ γοῦν μερικωτέρων συλλογίσασθαι. ἀνεῦ γὰρ τοῦ καθόλου ὡς ἐμά-
θομεν, συλλογισμὸς οὐ γίνεται, εἶπε δὲ τὸ μερικώτερον πηδίονα, ἢ διότι σύνθε-
τώτερά ἐστι καὶ πηδιόνων. ὁ γὰρ ἄνθρωπος ἐκπηδιόνων μᾶλλόν ἐστιν, ἤπερ τὸ ζῶον.
ἔχει γὰρ καὶ τὰ τοῦ ζώου. οἷον, τὴν οὐσίαν, τὸ ἔμψυχον καὶ τὸ ἀνθητικόν. ἔχει

δε καὶ ὁ λογικὸν καὶ ὁ ἀποστικὸν, ἀπὸ τοῦ ζῴου οὐκ ἔχει· ἢ ἄλλην αὐτὸ
πλείονα, ὅτι τὸ καθόλου πρότερον πίνακα ἔνιοι· τὰ δὲ πρῶτα, πλείονα· καὶ ἴσων δὲ ἢ πρό-
" τασις ἐξήνυσις. ἐαὶ δὲ ἀποχειρὴ ὅτι τῷ μὲν. εἴρηται ἐν τοῖς τόποις, ὅτι ἐπὶ τῷ γένει
ἐστὶν ἐναντίον, καὶ τῷ ἓν γένος εἶδει αὐτὰ ἀνάγκη εἶναι εἶδος ἐναντίου· τῇ γὰρ ἀρετῇ γέ-
νος οὖσῃ, καὶ ἐναντία οὖσης αὐτῇ τῆς κακίας, καὶ τῷ τῆς ἀρετῆς δὴ τῇ ἀφροσύνῃ ἐ-
στὶν ἐναντία ἡ δειλία. τούτου οὕτως ἔχοντος, εἴτις ἀληθῶς ἔδειξε τῆς ψυχῆς μὴ
ἓν γένος τὴν ἀρμονίαν, διὰ τοῦτο μὲν ἁρμονία εἶναι ἐναντίον τὴν ἀπαρμοστίαν· τῇ
δὲ ψυχῇ οὐδὲν οὔσῃ μὴ ἓν ἐναντίον πρῆτέον φησὶ ὅτι ἐστὶ καὶ τῇ ψυχῇ ἐναντίον,
" ἀηδὲ οὐ κεῖται ὄνομα αὐτῷ. ἐστὶ δὲ αἰώνυμον. ἐπεὶ δὲ ἔνια μὲν ὧν λέγουσιν οἱ πολ-
λοί. ἐπεὶ φησὶ τὸν μὴ συγχωροῦντα τινὰ ὧν οἱ πολλοὶ λέγουσι ψεύδεσθαι φά-
σκοντι. ἔνια δὲ οὐ συγχωροῦντα οἷ οὐδὲν ἄτοπον ἀμφίδοξα οὐ λέγουσι ψεύδεσθαι
ὡς καὶ τὸ περὶ τῆς ψυχῆς τὸ ζῴων ἔχει. ἐν τοῖς ἀμφιδόξοις οὕτω τούτοις οὐ δεῖ ἁ-
πλῶς ἀποκρίνεσθαι. τὸ γὰρ λέγειν, ἀλλὰ σκοπεῖν, ὁπότερος βούλεται ὁ ἐρωτῶν, ἵνα αὐ-
τὸς μὴ λάβῃς αὐτό. οἷον εἰ ἔστι πρόβλημα, ἆρα ἡ ψυχὴ θνητὴ ἢ ἀθάνατος· ἐπεὶ
τὸ ἀμφίδοξον, σκόπησον ὁ βούλεται ὁ ἐρωτῶν, καὶ αὐτὸς δὸς τὸ ἕτερον· οὐδὲν
γὰρ ὁ μεμψόμοιρος, οἷον βούλεται τὰ ἀμφιδόξων λέγοντα. ἐν δὲ τῇ λέξει, ὡς εἴρηται,
τῇ ἐν οἷς οὖν ἄδηλον πῶς ἐώθεν λέγεσθαι, λείπει. τὸ ἐν τούτοις δεῖ μὴ συγ-
χωρεῖν. ἔστι γὰρ τὸ πλείονες, ἐν οἷς οὖν ἄδηλον πῶς ἐώθε λέγεσθαι, οὐδὲ δεῖ συγ-
χωρεῖν τὸ ναί, ἢ τὸ οὐ ἀλλ' ἁπλῶς λέγε, ὅτι ἄδηλον τὸ πρότερον μόνον. λέγει δὲ λέ-
γεσθαι γνώμας καὶ τὰς ἀληθεῖς δόξας ὁποῖαί εἰσιν αἱ δοκοῦσι πᾶσιν, ἢ τοῖς πλεί-
στοις, ἢ τοῖς σοφοῖς, καὶ τούτοις, ἢ πᾶσιν, ἢ τοῖς πλείοσις, ἢ τοῖς μάλιστα γνωρίμοις.
περὶ ὧν ἐν τῷ πρώτῳ τῶν τοπικῶν εἴρηται, καὶ τὰς ὅλας ἀποφάσεις λέγων, ὅλην
" ἀπόφασιν τὴν καθόλου ἀπόφασιν, οἷον τὴν οὐδείς. ἔπου τὸ ἀληθὲς ἀμφίδο-
ξον εἶται. ἐφ' ὧν φησὶν οὐκ ἔστι τὸ ἀληθὲς ὁμολογούμενον, ἀλλ' ἀμφίδοξούμενον,
μάλιστα τῆς μεταφορῶν, καὶ μεταλαμβανόντων τὰ ὀνόματα πρὸς τὸ χρήσιμον αὐ-
τῷ διαλεκτικόν. εἰ γὰρ ἀληθὲς μέν ἐστι τὸ τὴν ψυχὴν ἐξ ἑαυτῆς κινεῖσθαι τε καὶ
αὐτοκίνητον εἶναι, ἀμφίδοξον δὲ καὶ ἐπίσης φαίνεται, καὶ κινεῖσθαι ἐξ ἑαυτῆς,
καὶ μὴ κινεῖσθαι οὐδὲν γὰρ κωλύει μὴ ἐφ' οὗ τις ἔχει ἀκριβῶς καταλιπεῖν ἐπίσης
νομίζειν καὶ ὅπ οὕτως, καὶ ὅπ οὐχ οὕτως, αὐ μεταφέρει τὸ τῆς κινήσεως ὄνομα
ὁ ἀποκρινόμενος εἰς τὴν αἰσθησιν καὶ φησὶ, ὅπ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀηδ' οὐχ
ὡς συγκρούομενον, οὐδὲ δοξασοφίσεσθαι καὶ σοφιστικῶς ἀποκρίνεσθαι. δείκνυσι
δ' αὖ ἡ ψυχὴ, διὰ μὲν τοῦ αὐτοκίνητος, ἀθάνατος· θνητὴ δὲ, διὰ τοῦ ἑαυτοῦ, ἀηδὲ
μὴ κινεῖται, οὐδὲ χωρίζεται τοῦ σώματος. καὶ εἰ μὴ χωρίζεται ἐστὶ θνητόν· ἢ λέ-
γοι αὖ διὰ τοῦ μεταφορεῖν, τὸ μεταφορᾶς χρῆσθαι. εἰ γάρ τις θείη τὴν ψυχὴν θνη-
τὴν, χρήσεται δ' ἐπὶ μεταφορᾷ, καὶ εἴπειν εἰ ἡ ψυχὴ ἁρμονία ἐστὶ ξωὴ οὖσα, ὡς ὁ
ποιητὴς ἐν τῷ φαιδωνι πεποίηκεν, οὐκ ἂν γένοιτο πρὸς ἀπαρμοστία, ἤγουν θανά-
τος. εἰ γὰρ ἡ ψυχὴ ξωὴ οὖσα, ἁρμονία ἐστὶν, πᾶσα ὁ θανάτος ἀπαρμοστία ἐστίν.
εἰ δὲ ἁρμονία μὴ γένοιτο ἀπαρμοστία, πάντως οὐδὲ θανάτος, ἀθάνατος ἄρα ἡ ψυ-
χή. καλλίων δὲ πρώτη ἐξήγησις, διὰ τὰ δύο ἐπεξηνεγμένα. λέγει γὰρ, ἐπὶ ὅσα.

αὐτὸς προσθαίνειται τῶν ὁρωτημάτων προενεστάπιον· τῷ ἀποκρινομένῳ ταῦτα
πάντα παρεγγυᾶται πως δὴ πάντας ἀποκρίσεις προιουμένῳ οὐκ ἔσται αὐτῷ συμ-
πρόσμοσις καὶ ἀπάτη. λέγει οὖν καὶ ταῦτα, τῆς αὐτοῦ ἐννοίας ἐξηρτημένα. ἔπι
δὲ τοιούτους τὰ λεγομένων ὁ νοῦς. ὅταν τινὰ ὁρωτῶντα οἱ δὲν ὁ ἀποκρινόμενος,
αὐτὰ δὴ τὰ ὁρώτωμάτα ἀμφίδοξα ᾖναι, προσαγορευέτω, καὶ λεγέτω μὴ οὕτως
ἔχειν, ὡς ὁ ὁρωτῶν πάσχει, ἀλλ' ἐναντίως. οὕτω γὰρ τριῶν καὶ μονουχὶ ἀποσμίξεων
διὰ τὰ λέγειν οὐχ οὕτω ἔχει ὡς σὺ φῂς, ἀλλὰ μᾶλλον τὸ ἐναντίον κωλύσει τὸν
" ὁρωτῶντα ὁ βούλεται συμπεραίνεσθαι. ἐπεὶ δ' ἔστιν ἡ μὲν ὀρθὴ λύσις, ἐμφαί-
σεις ψεύδους οὖς συλλογισμοῦ. μέλλων χωρεῖν ἐς τὸ παραδοῦναι ἡμῖν μέθοδον
δι' ἧς αὖ δυναίμεθα διαλύειν τὰ σοφίσματα, ἅτε καθ' ὁμωνυμίαν εἰσὶν, εἴτε κατ'
ἀμφιβολίαν, ἢ καθ' ἕτερόν τινα τρόπον τῶν ἀπαριθμημένων δέκα καὶ τριῶν, ἀνά-
γει τὸν λόγον ἐπὶ τὸ καθολικώτερον καὶ φησὶ, ὅπ ἐπεὶ πᾶς συλλογισμὸς σο-
φιστικὸς ἢ πρὸς τὴν ὕλην ἐστὶ τὰς προτάσεις ἔχων ψεύδεις, ἢ πρὸς τὸ χῆμα, καὶ
κατὰ τοῦτο ὧν ἀσυλλόγιστος. τῶν μὲν κατὰ τὸ χῆμα οὔπω ἐρρωμένου, ψεύδεις δὲ
τὰς προτάσεις ἔχοντος, δεῖ αἱρεῖσθαι μίαν τῶν κειμένων προτάσεων παρ' ἣν τὸ
ψεῦδος ἢ ἐτύχει καὶ ἀμφοτέρας, ἀλλὰ μᾶλλον τὴν μείζονα ὡς πολλαχοῦ εἰ-
ρήκαμεν, καὶ διαλύειν οὕτως αὐτόν. τὸ δὲ τὸ χῆμα ἡμαρτημένον ἔχοντος, τὴν ἀ-
συλλογιστίαν αὐθις ἀπελέγχειν, καὶ οὕτω καὶ αὐτὸν αἱρεῖσθαι· ὁ, πως μὲν οὖν
τῶν λεγομένων σκοπὸς, τοιοῦτός ἐστι. δυνήσεται δὲ παροδικῶς καὶ τὴν λέξιν οὕτως ἐ-
πίσκοπεῖν· ἐπεὶ ἡ ὀρθὴ ἐμφάνισις καὶ ἀπόδοσις τῶν ἁπλῶς σοφιστικοῦ συλλογισμοῦ, αὖ
τί ἐστὶ τὸ δεῖξαι περὶ τοῦ τῶν προτάσεων συμβαίνειν τὸ ψεῦδος τὴν μείζονα ἢ
τὴν ἐλάττονα. ὁ δὲ ψεῦδος συλλογισμός ἐστι διττός, ὁ μὲν τὸ χῆμα ἡμαρτημένον
ἔχων, ὡς ὁ λέγων, ὁ λίθος βαστὰ ξώω, τὸ ξῶον βαστὰ αὐτὸ· καὶ συλλογιζόμενος ἐκ
τῶν πᾶς καὶ πᾶς, ψεῦδές τι συμπέρασμα τὸ βαστὰ αὐτὸν ᾖναι λίθον. ὁ δὲ περὶ τὸ
χῆμα λαμβανόμενος, ἀληθευουσῶν τῶν προτάσεων, ὡς ἐκ δύο καταφατικῶν ἐν
β χήματι τὸν αὐτὸν ἴσον ᾖναι συμπεραινόμενος, ὡς τις καὶ μὴ ὢν συλλογι-
σμὸς, δοκεῖ εἶναι τοῖς ἰδιώταις, εἰ μὴ τοῦ οὕτω συλλογιζομένου συλλογισμοῦ
λύσις, ἢ τε νῦν ἡρημένη. ἡρημένην δὲ νῦν λύσιν λέγει τὴν προσεχῶς ἐνθεῖσαν τὴν ὅ-
τι οὐ συλλελόγισται, ἀηδ' ἀσυλλόγιστος ἢ, διὰ τὸ ὁμώνυμα ἢ ἀμφίβολα ᾖναι τὰ
ἐρωτήματα, ἢ ἤ τοιοῦτον, ἢ ὅτι ἐκ δύο μερικῶν συλλογίζη ἢ ἐκ δύο ἀποφατικῶν
ἢ τί τοιοῦτον. καὶ ἡ διόρθωσις τῆς οὐ καλῶς ληφθείσης προτάσεως παρ' ἣν τὸ ψεῦ-
δος σῴζεται. ὥς τε ἐστὶ τὸ λύειν τοὺς τοιούτους συλλογισμοὺς τοὺς μὲν συλλελο-
γισμένους αὐ ἐλόντα. τοὺς δὲ φαινομένους διελόντα. τὸ δὲ τοὺς φαινομένους διε-
λόντα λύειν, ἴσον ἐστὶ τῷ αἰρεῖσθαι τὰς προτάσεις. ὁρᾷς πως ἐλήφθησαν,
καὶ πότερον ὁμώνυμά ἐστι τὰ ἐρωτήματα ἢ ἄλλον τινὰ τρόπον, ἐξ ὧν οἱ παρα-
λογισμοὶ γίνονται, καὶ τοὺς συλλελογισμένους, καὶ τὸ ἴδιον τοῦ χήματος ἐν
ᾧ σὺν ἐλογίσθησαν φυλάττοντας, αὐαίρετον, δεικνύντας τὸν τρόπον τοῦ παρα-
λογισμοῦ, τοὺς δὲ συλλογίστους διαιροῦντας καὶ δεικνύντας ὅτι αἱ δύο κατα-
φατικαί εἰσιν ἐν β χήματι, ἢ τι τοιοῦτον. διὰ μὲν οὖν τῶν μέχρι τοῦ νῦν εἰρημέ-

νων, περί τε τοῦ κατὰ τὸ σχῆμα ἡ μαρτημένου, καὶ περὶ τοῦ κατὰ τὴν ὕλην ψευδομένου, διελάμβανε. νῦν δὲ περὶ μόνου τοῦ τὸ σχῆμα μὲν ἐῤῥωμένου φυλάττοντος, τῆς δὲ ἀκριβείας ἐκπίπτοντας, τὸν λόγον ποιεῖται. καὶ φησὶ ὅτι ἐπεὶ τῶν τοιούτων συλλογισμῶν, οἱ μὲν ἀληθὲς ἔχουσι τὸ συμπέρασμα, ὡς οἱ λέγοντες, ὁ ἄνθρωπος λίθος ὁ λίθος ζῶον, ὁ ἄνθρωπος ἄρα ζῶον. οἱ δὲ τὸ συμπέρασμα ψευδὲς ἔχοντες δῆλοι. τοὺς μὲν κατὰ τὸ συμπέρασμα ψευδομένους, διττῶς ἐστι λύειν. καὶ γὰρ ὅταν μὲν τὸ συμπέρασμα ψευδὲς ᾖ, ἐξ ἀνάγκης καὶ αἱ προτάσεις ψευδεῖς εἰσιν ἀναιρεθήσεται οὖν ἐν τοῖς τοιούτοις συλλογισμοῖς καὶ τὸ συμπέρασμα, καὶ αἱ τὸ τοιοῦτον συνάγουσαι προτάσεις συμπέρασμα. τοὺς δὲ κατὰ τὰς προτάσεις ψευδομένους μοναχῶς ἐστι λύειν, ἐπεὶ γὰρ καὶ ἐκ ψευδῶν συνάγεται ἀληθὲς ἐν τοῖς τοιούτοις αἱ προτάσεις, ἀναιρεθήσονται, οὐ μὴν καὶ τὸ συμπέρασμα. τοῦτο γὰρ ἀληθές. ὥς τε τοῖς βουλομένοις λύειν τοιοῦτον συλλογισμὸν σοφιστικὸν δηλονότι, πρῶτον μὲν σκεπτέον, ὅτι κατὰ τὸ σχῆμα ἡ μάρτηται, ἢ κατὰ τὴν ὕλην. καὶ εἰ κατὰ τὴν ὕλην τυχὸν εἴη τὸ ἄντιον, ζητητέον πότερον ἢ ἐν ταῖς προτάσεσιν ἔχει τὸ ψεῦδος, ἢ ἐν τῷ συμπεράσματι. εἰ μὲν οὖν ἐν τῷ συμπεράσματι, καὶ ἐν ταῖς προτάσεσιν ἐξ ἀνάγκης, οὐ μὴν τὸ ἀνάπαλιν. ζητητέον δὲ ταῦτα ὅπως. εἰ μὲν εἴη κατὰ τὸ σχῆμα ἡ μαρτημένος, διελόντες αὐτὸν, λύσωμεν. εἰ δὲ περὶ τὴν ὕλην, ἀναίρεσιν τῆς ψευδοῦς προτάσεως ποιησάμενοι. τὸ γὰρ ὅπως ἢ διαιροῦντες ἢ ἀναιροῦντες λύωμεν. τὸ μὲν διαιροῦντες ἀντὶ τοῦ ἀναλύοντες εἰς τὰς προτάσεις. ὥς περ καὶ τὸ ἀναιροῦντες ὧδε, ἢ ὧδε, ἀντὶ τοῦ ἢ τὸ συμπέρασμα μόνον, ἢ τὸ συμπέρασμα καὶ τὰς προτάσεις.

" διαφέρει δὲ πρεῖστον ἐρωτώμενόν τε καὶ μὴ λύειν λόγον. ἴσον ἐστὶ τὸ προκείμενον τῷ, πολὺ διαφέρει τὸ ὁρᾶν τὴν τοῦ λόγου ἁμαρτίαν. τοῦτο γὰρ ἐστιν ἡ λύσις, ἡ εὕρεσις τῆς ἁμαρτίας τοῦ λόγου, ὅτε κατὰ σκολὴν καὶ καθ' ἑαυτοὺς λαμβάνονται, τὸν συλλογισμὸν σκοποῦμεν πῶς συλλελόγισται, καὶ πῶς αἱ προτάσεις ἐλήφθησαν, καὶ ὅτε ἐρωτῶνται. ἐργῶδες γὰρ ἐστι καὶ πολλῆς τῷ ὄντι ἕξεως, ἅμα τῇ ἐρωτήσει τὸ συμβαῖνον ἐκ τοῦ λόγου δύνασθαι συνορᾶν.

" τῶν μὲν οὖν περὶ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν ἐλέγχων. δ' εἰσὶ τρόποι, ἐξ ὧν τὰ δύο εἴδη τό, τε καθ' ὁμωνυμίαν καὶ τὸ κατ' ἀμφιβολίαν εἰωθὲ συνίστασθαι. α̅ μὲν ὅταν ὁ λόγος ἢ τοὔνομα πρείω σημαίνει, ὃς καὶ κοινός ἐστιν ἐπίσης τοῦ τε ἀπὸ τῆς ὁμωνυμίας γινομένου ἐλέγχου καὶ τῆς ἀμφιβολίας. β̅ ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν. ἔστι δὲ καὶ οὗτος κοινός. γ̅ δὲ ὅταν τὸ συντεθὲν πρείω σημαίνει, κεχωρισμένον δὲ ἁπροῦν ἐστιν. ὡς τὸ ἐπίσταται γράμματα. οὔτε γὰρ τὸ ἐπίσταται πρείω σημαίνει, οὔτε τὸ γράμματα, συντεθὲν δὲ διττόν ἐστιν. ὃς τρόπος ἴδιός ἐστι τοῦ κατὰ ἀμφιβολίαν μόνου. δ̅, δὲ ὁ ἀντιστρόφως τούτῳ ἔχων, ὅταν τὸ μὲν συνθετὸν ἓν σημαίνει, ὡς τὸ ὁ ἄνθρωπος νεκρός ἐστι. κεχωρισμένον δὲ πολλά. ὥς περ καὶ τὸ ὁ ὅμηρος ποιητής ἐστιν. ἓν δηλοῖ, κεχωρισθὲν δὲ οἷον ὅμηρός ἐστιν. πολλὰ εἰ γὰρ ὅτι ποιητής ἐστιν, ἢ ὅτι ζῆ καὶ ἔστι. τούτων οὕτως ἐχόντων λέγει, ὅτι περὶ τῶν τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν ἐλέγχων,

οἱ μὲν περὶ τὴν ὁμωνυμίαν ἔλεγχοι ἕν τι τῶν ἐρωτημάτων ἔχουσι πολλὰ σημαῖνον, τὸ ὄνομα δηλαδή. ἐπεὶ δὲ τοῦτο ἔχουσι πολλὰ σημαῖνον, καὶ ὁ λόγος διττὸς ἔσται ὡς συνεπράκη τὸ ὄνομα. προσυπακουστέον οὖν τὸ, καὶ τὸν λόγον. ἵνα ᾖ πρῆρες οὕτω. οἱ μὲν περὶ τὴν ὁμωνυμίαν ἔχουσι καὶ τὸ ὄνομα καὶ τὸν λόγον πρείω σημαίνοντα. ἐν γὰρ τῷ ὁ κύων πορεύεται, καὶ τὰ ὀνόματα πρείω σημαίνει καὶ ὁ λόγος, ἡ γὰρ πορεία καὶ ἀπὸ ἔρψεως καὶ βαδίσεως καὶ νεύσεως λέγεται. εἰ οὖν τὸ κύων ὄνομα πολλὰ σημαίνει, ἔσται καὶ ὁ λόγος ὡς συντεθήσεται τοῦτο διττὸς, οἱ δὲ τὸ συμπέρασμα, οἱ δὲ περὶ τὴν ἀμφιβολίαν ἐν λόγῳ τὸ διττὸν ἔχουσιν, ὃν συμπέρασμα ὠνόμασεν, διὰ τὸ καὶ αὐτὸ λόγον εἶναι. ἡ γὰρ ἀμφιβολία καὶ ὡς πρότασις προβάλλεται καὶ προτείνεται. γίνεται δὲ καὶ συμπέρασμα. οἱ οὖν περὶ τὴν ἀμφιβολίαν τὸν λόγον ἔχουσι πρείω σημαίνοντα, τὰ δὲ ὀνόματα οὐχί, οἷον γένοιτο καταβαλεῖν τὸ νῦν ἐμέ. ἐν ταῦθα γὰρ τῶν μὲν ὀνωμάτων οὐδὲν διττόν. αὐτὸς δὲ ὁ λόγος σφὰς αὐτοὺς σημαίνων ἑλεῖν τε καὶ αἱρεθῆναι, καὶ τάχα τις εἴποι ὡς καὶ ἐν τῷ κατ' ἀμφιβολίαν ἐλέγχῳ. καὶ ὁ λόγος καὶ τοὔνομα τὸ διττὸν ἔχουσιν. ἐν γὰρ τῷ ἄρα ἐστὶ σιγῶντα λέγειν, καὶ ὁ λόγος διττὸς, καὶ τὸ σιγῶντα. καὶ πρῶτον μὲν λεκτέον, ὅτι τὸ σιγῶντα, οὐκ ὄνομα, ἀνὰ μετοχή. ὁμοίως καὶ τὸ ὁρῶντα. ἄλλως τε δὲ ἀπὸ μὲν τῶν περὶ τὴν ὁμωνυμίαν, ἀεὶ τὸ διττὸν, καὶ ἐν ὀνόμασιν ἐστι καὶ λόγοις. ἐν δὲ τοῖς περὶ τὴν ἀμφιβολίαν παραλογισμοῖς, οἰκεῖον μὲν ἐν τῷ λόγῳ τὸ διττὸν, ὡς εὑρήσεις τὸν φιλόσοφον κατ' ἀρχὰς τοῦτο αὐτὸ λέγοντα. ὅτε δ' ἔχουσι τὸ διττὸν καὶ ἐν ὀνόμασι, ὅτε δὲ οὐκ ἔχουσι. ζητήσειε δ' ἄν τις πῶς πρότερον ἔλεγεν ὅτι ἐν μὲν τῷ σιγῶντα λέγειν, ἐν τῇ ἀντιφάσει ἐστὶ τὸ ἄντιον τῶν παραλογισμοῦ, οὐκ ἐν τῷ συλλογισμῷ ἤγουν τῷ συμπεράσματι. νῦν δὲ λέγει ὅτι ἐν μὲν τῷ σιγῶντα λέγειν, τὸ συμπέρασμα, διττόν. ἢ ἐπειδὴ ἔντισι τῶν σοφισμάτων, τὸ συμπέρασμα τὸ αὐτὸ ἐστὶ μιᾶ τῶν προτάσεων, διὰ τοῦτο ὅτε μὲν ὡς παράδειγμα τοῦ ἔχοντος τὸ διττὸν ἐν ταῖς προτάσεσι λαμβάνει αὐτό. ὅτε δὲ ὡς παράδειγμα τοῦ ἔχοντος τὸ συμπέρασμα διττόν. ὅτι δὲ ἐν τῷ ἄρ' ἐστὶ σιγῶντα λέγειν τὸ συμπέρασμα καὶ ἡ πρότασις τὸ διττὸν ἔχουσιν οὐκ ἄδηλον. ὅταν δὲ ἕτερόν τι τὸ συμπέρασμα τῶν προτάσεων, οὐδέποτε ἔλαβε τὸ συμπέρασμα, καὶ ὡς παράδειγμα προτάσεως ἐχούσης τὸ διττὸν, ἀνὰ μόνον ὡς συμπέρασμα. τὸ δὲ, ἐν δὲ τῷ συνεπίστασθαι τὸν ἀπιστάμενον παράδειγμα ἐστὶ τοῦ κατὰ ἀμφιβολίαν ἐλέγχου. οὐδὲν δὲ τῶν ὀνομάτων τὸ ἐρώτημα ἔχει διττὸν, ἀνὰ τὸν λόγον. ἔστι δὲ τὸ σόφισμα τοιοῦτον. ἆρ' ὁ ἀπιστάμενος λέγειν ἢ πράττειν, ἐκεῖνο συνεπίσταται ὃ λέγει ἢ πράττει; ναί. οὗτος δὲ ἐπίσταται λέγειν ἰαμβεῖα. οὗτος ἄρα συνεπίσταται καὶ τὰ ἰαμβεῖα, ἀνὰ μὴν ἀγνοεῖ τὰ παραὐτῶν δηλούμενα. ὁ γὰρ λόγος ἀπὸ παιδὸς, ἢ ἰδιώτου ἠρωτᾶτο. εἰ οὖν οὗτος μὲν ἐπίσταται λέγειν ἰαμβεῖα, οὐ συνεπίσταται δὲ καὶ τὰ δι' αὐτῶν δηλούμενα. οὐδὲν γὰρ κωλύει ἀποστοματίσαντα, ἐπίστασθαι δίχα βιβλίου προφέρειν τε καὶ ἐπαγγέλλειν, ἀγνοεῖν δὲ τὰ δηλούμενα δι' αὐτῶν, ψεῦδος ὅτι συνεπίσταται. εἰπὼν δὲ τοὺς μὲν ἀπὸ τῆς ὁμωνυμίας καὶ τὸ ὄνομα καὶ τὸν λόγον ἔχειν πρείω σημαίνον

πα. τοῖς δὲ πρῶτον τὴν ἀμφιβολίαν, τὸ μὲν συμπέρασμα καὶ τὸν λόγον τμεῖσθαι,
μαίνειν, εἴπερ πρότασις ἐστὶν ὁ λόγος εἴτε συμπέρασμα. τὸ μὲν ἀπὸ τῆς ὁμωνυμί-
ας, οὐκ ἔδωκε παραδόγμα· τοῖς δὲ πρῶτον τὴν ἀμβιβολίαν δύο τίθησι παραδείγ-
ματα· τὸ μὲν ἔχον διττὸν καὶ τὰς προτάσεις, καὶ τὸ συμπέρασμα, τὸ δὲ τὴν
πρόπασιν μόνον, δι' ἑνὸς γὰρ δεῖ ὅτι ⁂ μὲν θάτερα λέγειν διττὸν μὲν τὸ συμπέ-
ρασμα, καὶ ἡ πρότασις· ⁂ δὲ μὴ σῶσαι σῶσαι θάτερον, ἢ μὲν πρό-
τασις διττή· τὸ δὲ συμπέρασμα, οὐχί· τὸ γὰρ συμπέρασμα, τὸ οὕτως ἄρα σῶσαι-
σαι καὶ τὰ ἀναμβεία, οὐ διττόν· καὶ δ' αὖ σαφέστερα ἢ λέξις ἦν, εἰ δὲ τῷ μὴ σῶσαι-
σαι τὸν ἕτερον, εἰ οὕτω πως ἔχει, ἐν τῷ ἐλέγχῳ τῷ λεγομένῳ, οὐκ ἄρα
σῶσαι ὁ ἕτερος, τὸ ὁρώτημα διττὸν καὶ ἀμφίβολον· τὸ δὲ συμπέ-
ρασμα ἁπλοῦν, τὸ δὲ οὐχί, ὅτε μὲν ἐστίν, ὅτε δὲ οὐκ ἔστιν, ἁπλῶς πρὸ τῶν δύο πρό-
των τῶν τὰ πολλαχῶς λεγόμενα σῶσαι σώντων, τοῦτο, χωρὶς μὲν ἑκάστου ἐχόν-
τος ἁπλοῦν, σῶσαι θέντος δὲ οὐχ ἁπλοῦν, καὶ πρὸς τοῦ αὐτοτρόφως τοῦτο τοῦτῳ ἔ-
χοντος, καὶ ἔστιν ὃ λέγει τοιοῦτον, ὅτι τὸ διττόν, ὅτε μὲν χωρισθέντος ⁂ ἐκάστα-
σθαι τῶν γραμμάτων, οὐκ ἔστι σῶσαθέντος δὲ ἔστι· ποτὲ μὲν γὰρ τὸ διττὸν, ἐν σῶ-
θέσει ἐστὶν, ἐν διαιρέσει δὲ οὐκ ἔστιν, ἢ καὶ ἀνάπαλιν· ἔστι δὲ καὶ οὕτως τὸ διττὸν
ἐν τοῖς πρὸς τὴν ἀμφιβολίαν παραλογισμοῖς· ποτὲ μὲν ἐστὶ καὶ ἐν τοῖς ὁρωτή-
μασι, καὶ ἐν ταῖς προτάσεσι· ὅτε δὲ οὐκ ἔστιν· εἴρηται γὰρ διαφορὰν ἀλλήλων τὰ
δύο ταῦτα εἴδη, τῷ τοὺς μὲν ἀπὸ τῆς ὁμωνυμίας, ἀεὶ ἔχειν καὶ ἐν ὀνόμασιν
καὶ ἐν ὁρωτήμασι, τὸ διττὸν, τοὺς δὲ πρὸς τὴν ἀμφιβολίαν, οὐκ ἀεὶ, ἀλλ' ἔχειν
αὐτοὺς τὸ διττὸν, ποτὲ μὲν, ποτὲ δ' οὔ· τὸ δὲ ἀλλὰ σημαίνει τὸ διττὸν, ὅτε μὲν ὄν,
ὅτε δὲ οὐκ ὄν, ἴσον ἐστὶ τῷ πῖ μὲν ⁂ διττοῦ ἐστὶν ὂν καὶ ἀληθές· πῖ δὲ, μὴ ὄν, ἢ ψεῦ-
δος. ⁂ γὰρ τοῦ, ἆρ' ὁ ⁂ ἀμενος λέγειν καὶ ἐκεῖνο σῶσαι σαι λέγειν, ⁂
μὲν ἀληθές, ⁂ δὲ, ψεῦδος· ⁂ μὲν γὰρ τοῦ ⁂ μενος ἀληθές· οὕτως γὰρ σῶσαι-
σαι· ⁂ δὲ τοῦ ⁂ δίου ἢ τοῦ ἰδίου τοῦ, ψεῦδος. ὅσοις μὲν οὖν ἐν τῷ πρώ-
τῳ λόγῳ τὸ πολλαχῶς. τὸ λεγόμενον δ' ἄλογόν ἐστιν, εἰ ⁂ ἀμνημονεύσομεν ὧν ἔφαμεν
ἐν τῷ δευτέρῳ τῶν πρότερον ἀναλυτικῶν· ἐν οἷς πρῶτ' ἐξ αὐτῶν ἐπιμέτρων συλ-
λογίζεσθαι τὸν λόγον ἐπειρᾶτο. εἰσὶ δὲ ἃ ⁂ εἴπαμεν ἐκεῖσε ταῦτα πρὸς τὸ τέλει-
δεῖ δὲ καταναοῆσαι ὅτι οὕτω μὲν οὐκ ἔστιν ἐναντίον συμπεραίνασθαι ἐξ ἑνὸς συλλο
γισμοῦ· ὥστ' ἔνεστι τὸ συμπέρασμα τὸ μὴ ὂν ἀγαθὸν, ἀγαθὸν, ἢ ἄλλο τι, καὶ τὰ
λοιπὰ, τούτων οὕτως ἐκεῖσε ῥηθέντων, δῆλον ὅτι τὸ ὅσοις μὲν οὖν ἐν τῷ τέλει, ἅ
σον ἐστὶ τῷ ἐν ὅσοις μὲν οὖν ἐν τῷ συμπεράσματι· τοῦτο γὰρ εἶπε τέλος· ἐν ὅσοις
μὲν οὖν ἐν τῷ τέλει ὑπάρχειν τὸ πολλαχῶς λεγόμενον, τοῦτ' ἔστιν ἡ αἰτίασις, δεῖ
εἶναι, ὅτιὴν πρότασιν ἔχουσα τὴν αὐτὴν φασιν ἐλήφθη. εἰ γὰρ μὴ προσλάβοι ἐν
τῇ προτάσει τὴν αὐτὴν φασιν, οὐ γίνεται ἔλεγχος, ἐξ ἑνὸς συλλογισμοῦ ταῦτα
πάντα συνάγων. εἶτα ὡς πρόσθεν ἀναμιμνήσκων ἡμᾶς τῶν ἐν τῷ β̄ τῶν πρότερον ἀνα-
λυτικῶν εἰρημένων, ἐπήγαγεν· αἰδοῦ γὰρ αὐτὴν φάσεως οὐκ ἦν ἔλεγχος· ὡς ἔλεγ-
χος. εἴρηται γὰρ καὶ ἐν ἐκείνοις, ὅτι αἰδοῦ τοῦ προσλαβεῖν τὴν αὐτὴν φασιν, οὐ δύ-
ναται γενέσθαι ἔλεγχος, ὅτι τὸ ἀγαθὸν οὐκ ἀγαθόν· τὰ γὰρ δύο πέρατα τῶν προ-

σεων, τὰς ἀρχὰς παρέχει τῶν σοφιστικῶν ἐλέγχων· ἢ μᾶλλον τὸ λεγόμενόν ἐστιν·
ἐν ὅσοις μὲν οὖν ἐν τῷ συμπεράσματι ἡ ἀμφιβολία ἐστί· τοῦτ' ἦν γὰρ εἶπε πολλα
χῶς αὖ μὴ προσλάβῃ τὴν αὐτὴν φασιν, οὐ πάνυ ῥᾴδιον ἐλέγχειν· τούτου γάρ ἐστι δη
λωτικὸν τὸ, οὐ γίνεται ἔλεγχος· οἷον ἆρ' ἔστι τυφλὸν ὁρᾶν, οὐ· πῖ δὲ ὅταν τυφλοῦ
ὁρᾷς, οὐ τυφλὸν ὁρᾷς· ἔστιν ἄρα τυφλὸν ὁρᾶν· τοῦτο ἀμφίβολον· ἢ γὰρ ὅτι ὁ τυ-
φλὸς ὁρᾷ· ἢ ὅτι ὁ βλέπων ὁρᾷ τὸν τυφλόν· ὥστε εἰ μέλλει φανεῖσθαι ἔλεγχος,
δεῖ προσλαβεῖν τὴν αὐτὴν φασιν οὕτως ἔστιν ἄρα τυφλὸν ὁρᾶν καὶ μὴ ὁρᾶν· ἢ οὕ-
τως ὁ τυφλὸς ἄρα ὁρᾷ καὶ οὐχ ὁρᾷ· ἐπεὶ δὴ ἡ ἀμφίβολόν ἐστι διὰ τὸ πολλα-
δηλοῦν πῖ τούτων σῶσαθαι, εἰ μὴ προσλάβοι τὴν αὐτὴν φασιν, ἄδηλος ἐστὶν,
εἰ εἰς θάτερον τῶν σημαινομένων βλέπων, σῶσαται· ἀλλὰ μὴ εἰς θάτε-
ρον· ἐν γὰρ τῷ ἔστιν ἄρα σιγῶντα λέγειν, ἄδηλον, εἰ ἐλέγχει· αὖ δὲ προσλάβῃ
τὴν αὐτὴν φασιν λέγων ἔστιν ἄρα σιγῶντα λέγειν καὶ μὴ λέγειν, δῆλος γίνεται·
οὕτω γὰρ ἦν τὸν ἔλεγχον γίνεσθαι ἐν τῷ β̄ τῶν προτέρων ἀναλυτικῶν· ὃ
καὶ ἀμφιβόλως ἔφαμεν· αἰδοῦ γὰρ αὐτὴν φάσεως οὐκ ἦν ἔλεγχος. ὅσοις δ' ἐν
τοῖς ὁρωτήμασιν οὐκ ἀνάγκη. ἐν ὅσοις δὲ φησὶ ἐν τοῖς ὁρωτήμασιν ἐστὶ τὸ
διττὸν, οὐκ ἀνάγκη προαποφάσκειν, τουτέστιν οὐ δεῖ ἀπλῶς ἀποφάσκειν, καὶ
λέγειν ὅπου· ὅταν πῖ μὲν ἐστὶ ἀληθές· πῖ δὲ ψεῦδές. ⁂ τούτων δεῖ οὕτω οὐκ ἀ-
νάγκη προαποφάσκειν. ψεῦδος γὰρ ἀποφάσκοις ἄν· ὅταν δ' ὅλως ἡ ψεῦδος
δεῖ ἀποφάσκειν, οἷον ἆρα γε ὁ ἄμμις βόρρω τῆς μονομαχίας; οὐ· ἐν ταύθα γὰρ ἀ-
νάγκη προαποφῆσαι· οὐδεὶς γὰρ τῶν ἀναίτιον βόρρω τῆς μονομαχίας. ⁂ δὲ τοῦ
ἄρα γε ὁ ⁂ μος τὸ λέγειν καὶ ἐκεῖνο σῶσαι σαι λέγει· οὐκ ἀνάγκη
ἀποφῆσαι. ⁂ γὰρ τοῦ ⁂ μος ψεῦδος τὸ ἀποφῆσαι· σῶσαι σαι γὰρ ὁ ⁂
σαι ἀλέγειν ἐσαι σαι. ⁂ οὖν τούτων οὐκ ἀνάγκη· ⁂ δὲ τοῦ συμπέρασμα
τος ἀνάγκη λέγειν, οὐ· οἷον οὐκ ἄρα σῶσαι σαι ὁ ἐσαι σαι λέγειν, ἓν τέον
οὐ· ψεῦδος γὰρ τὸ τοὺς ὡδὶ ⁂ μους, οἷον τοὺς ⁂ μους τὸ μὴ σῶσαι σα-
σθαι ἀ λέγειν ἐσαι σαι. ἐπεὶ δὲ ὅπου οὐκ ἀνάγκη προαποφῆσαι τὸ διττὸν, τὴν
αὐτὴν ἐπάγαγε τούτου, διὰ τοῦ, οὐ γὰρ πρὸς τοῦτο, ἀλλὰ διὰ τοῦτο ὁ λόγος, τοῦ
τέτευ οὐ γὰρ πρὸς τοῦτο τὸ ὁρώτημα ἐστὶν ὁ λόγος, ἀλλὰ διὰ τοῦτο ἦ τοι τὸ συμ-
πέρασμα, διὰ γὰρ τὸ συμπέρασμα ἐστὶ τὸ ὁρώτημα. καὶ ἐπεὶ διὰ τὸ συμπέ-
ρασμα ἐστὶ τὸ ὁρώτημα, ἐν δὲ τῷ ὁρωτήματι ἄδηλον ἐστὶ, τὸ συμβαῖνον· ἀγνο-
οὖν μὴ γὰρ ἆρ' ⁂ ⁂ μους ἆρ' ⁂ πάσχοντος τὸν λόγον συμπεραίνει. οὐκ ἀ-
νάγκη προαποφάσκειν, ἀλλὰ λέγειν ὅτι ἴσως, ἢ ὅτι ἐστὶ μέν, ὡς· ἔστι δ' ὡς οὔ· ὅπερ
αὐτὸς ποιεῖ. ἐν ἀρχῇ μὲν οὖν τὸ διττὸν καὶ ὄνομα καὶ λόγον· εἰπὼν πῶς οὐ
δεῖ ἀποκρίνεσθαι δι' ὧν ἔλεγεν, ὅτι ὅσοις δ' ἐν τοῖς ὁρωτήμασιν ἐστὶ τὸ διττὸν,
οὐκ ἀνάγκη προαποφῆσαι· νῦν διδάσκει καὶ πῶς δεῖ τὰς ἀποκρίσεις ποιεῖσθαι
καὶ φησὶ ὅτι ὅταν ἐν τῇ ἀρχῇ τουτέστιν ἐν τῇ προτάσει ἢ ἐν ὀνόματι ἔχει τὸ διτ-
τὸν, ἢ ὁ λόγος, δεῖ δύθυς ἅμα τῇ ὁρωτήσει, μὴ συγχωρεῖν αὐτὴν καὶ καταν-
εῖν, ἀλλὰ λέγειν ὡς, ἔστι μὲν ὡς· ἔστι δ' ὡς οὔ· καὶ ἐπάγει πρὸς σαφηνισμὸν τού-
του, τὸ σιγῶντα λέγειν· ὡς γὰρ ⁂ τούτου φησὶν, ὅταν ἐρωτηθῶμεν, ἆρ' ἔστι σιγῶν

τα λέγειν, λεκτέον, ὡς ἐστὶ μὲν ὡς· ἐστὶ δ' ὡς οὔ. οὕτω ποιητέον καὶ ἐν πᾶσι τοῖς ἄλλοις. ἐὰν δὲ φησὶ πολλάκις συμβαίνη ἀπολαθόμενόν τινα τοῦ, ὅτι διττός ἐστιν ὁ λόγος, δοῦναι τὸ ὀρωτώμενον, φησὶν ὡς ἐστὶ πάλιν διορθῶσασθαι ἀπὸ τῷ συμπεράσματι. τέλος γὰρ φησὶ ὡς πολλάκις εἴπομεν τὸ συμπέρασμα. ἐν δὲ τῷ συμπεράσματι ὁ πηνίκα τοῦτο συνάγεται περὶ τῶν ὀρωτῶντος, προστίθενται τινὰ τῇ ὀρωτήσει, ἀπήρξουσι τὸν συλλογιζόμενον συλλογίσασθαι· ἐπάγει δὲ καὶ τούτου παράδειγμα, ὃ τοιοῦτον ἐστίν· ἠρώτησεν ὁ σοφιστὴς, ἆρα ἐστὶ σιγῶντα λέγειν. οὐκ ἔφησεν ὁ ἀποκρινόμενος, ὅτι ἐστὶ μὲν ὡς. ἔστι δ' ὡς οὔ. ἀνὴ ὅλως ἀπέφησεν. συνεπεράνατο δ' ἐκεῖνος, ὅτι ἆρ' ἐστὶ σιγῶντα λέγειν. πῶς γοῦν ἀποδράσει πάλιν τὸν ἔλεγχον ὁ ἀποκρινόμενος. ὁ πηνίκα ἐκεῖνος ἐξάγει τὸ συμπέρασμα λέγων, ἆρ' ἐστὶ σιγῶντα λέγειν. προστιθεὶς αὐτὸς οὔ. ὁ γὰρ σωκράτης ὅδε σιγῶν, οὐ λέγει. ὡσαύτως ποιητέον, καὶ ἐν τοῖς ἔχουσι τὸ διττὸν ἐν ταῖς προτάσεσιν, εἰ μὴ φθάσοι ὁ ἀποκρινόμενος τότε τοῦτο προδιαστείλασθαι. τὰ δὲ ἑξῆς σαφῆ εἰσὶ καὶ τοῖς ῥηθεῖσι παραπλησία. φανερὸν δὲ καὶ τοῖς περὶ τὴν διαίρεσιν καὶ σύνθεσιν πῶς λυτέον. εἰπὼν πῶς δεῖ ἀποκρίνεσθαι ἐν τοῖς περὶ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν ἐλέγχοις, καὶ διδάξας ἀρκούντως περὶ αὐτῶν. νῦν καὶ περὶ τῶν περὶ τὴν σύνθεσιν καὶ διαίρεσιν παραλογισμῶν τὸν λόγον ποιεῖται. καὶ πῶς λυτέον αὐτοῖς σαφηνίζει. ἂν γὰρ ὁ λόγος φησὶν ὁ αὐτὸς ἕτερον τί σημαίνει διαιρούμενος, καὶ ἑτέρου συντιθέμενος συμπεραινομένου τῶν συλλογιζομένου, αὐτὸς ἀεὶ τὸ ἐναντίον λέγε. περὶ δὲ τὴν σύνθεσιν αὐτοὺς, ὃ τὴν διαίρεσιν εἶπε. διότι τὸ αὐτὸ ἀπὸ τοῦδε διαιρούμενον συντίθεται τῷ δὲ, καὶ συντιθέμενον τῷ δὲ, διαιρεῖται ἀπὸ τῶν δὲ. οἷον ὁ σωκράτης κάθητε. ὁ καθήμενος δύναται βαδίζειν. ὁ σωκράτης ἄρα βαδίζει τὸ οὖν βαδίζει διαιρεθὲν ἀπὸ τῶν δύναται συνετέθη τῷ σωκράτει. καὶ γέγονεν ὁ παραλογισμὸς ὁ λέγων, ὁ σωκράτης ἄρα βαδίζει. ἐπεὶ οὖν τῶν αὐτῶν οἷον τῶν βαδίζειν ἅμα καὶ διαίρεσις καὶ σύνθεσις γίνεται. ἀνὴ ἀπ' ἄλλου μὲν διαίρεσις, οἷον ἀπὸ τῶν δύναται. ἄλλω δὲ σύνθεσις, οἷον τῷ σωκράτης. διὰ τῶν τὸ εἶπεν. εἰσὶ δὲ περὶ τὴν σύνθεσιν ἢ διαίρεσιν. οὐδὲν γὰρ διαφέρει, οὕτως ἢ οὕτως λεγόμενον. διόκαὶ ὁ ἀριστοτέλης τοῖς περὶ τὴν διαίρεσιν καὶ σύνθεσιν ὡς ἕνα τρόπον ἔλαβεν, εἰπὼν περὶ δὲ τὴν σύνθεσιν καὶ διαίρεσιν ὅταν αὐτὴ ποιῇ τῶν σημαινομένου τὴν διαφοράν. ὅτι δὲ καὶ τὸ παρὸν σόφισμα τὸ, ἆρ' ὧ εἶδες σὺ τοῦτον τυπτόμενον τούτῳ ἐτύπτετο, περὶ τὴν σύνθεσιν ἐστί. δῆλον ἔσται, εἴπερ τὸ ὅλον ἐκφήσομεν σόφισμα. ἔστι δὲ τοῦτο, ἆρ' ὧ εἶδες τοῦτον τυπτόμενον τούτῳ ἐτύπτετο; ναί. εἶδες δὲ αὐτὸν τῷ ὀφθαλμῷ τυπτόμενον. τῷ ἄρα ὀφθαλμῷ ἐτύπτετο, καὶ οὐ μάστιγι, ὅπερ ψεῦδος. τὸ γὰρ ἀληθὲς ἦν. τῷ ὀφθαλμῷ ἄρα εἶδες τοῦτον τυπτόμενον. γέγονε δὲ ὁ παραλογισμὸς ἐκ τοῦ διελεῖν, τὸ τοῦτον τυπτόμενον, ἀπὸ τῶν εἶδες, προσθῆναι δὲ τῷ ὀφθαλμῷ. οὐ γὰρ τῷ ὀφθαλμῷ οὕτως ἐτύπτετο ἔδει εἰπεῖν, ἀνὰ τῷ ὀφθαλμῷ οὕτως ὁρᾶτο τυπτόμενος. ἢ τῷ δὲ ὀφθαλμῷ εἶδες τοῦτον τυπτόμενον, καὶ ἐπεὶ τὸ ἀπὸ τῆς διαιρέσεως, ὅπερ αὐτὸς διὰ τῶν, οὐ γὰρ ἐστὶ διττὸν τὸ περὶ τὴν διαίρεσιν, ἐδήλωσεν. ἐπεὶ οὖν τὸ ἀπὸ τῆς διαιρέσεως, οὐ διττόν. τὸ δὲ ἀπὸ τῆς συνθέσεως διττὸν, περὶ τὴν σύνθεσιν ἐστὶ τὸ σόφι-

σμα. διαιρεθὲν γὰρ τὸ ἐτύπτετο, ἢ τὸ τυπτόμενον ἀπὸ τῶν ὀφθαλμοῦ, μετὰ τῶν εἶδες ἢ τοῦ ὁρᾶτο συντεθέν. εἶτα τὸ συναμφότερον τὸ, εἶδες τυπτόμενον συντεθὲν τῷ ὀφθαλμῷ ἀληθὲς συλλογίζεται ὁ λέγων τῷ ὀφθαλμῷ εἶδες τοῦτον τυπτόμενον. ὡς τε δῆλον ὅτι περὶ τὴν σύνθεσιν τρόπον τινὰ περὶ τὴν διαίρεσίν ἐστι. καὶ τὸ περὶ τὴν διαίρεσιν περὶ τὴν σύνθεσιν. λέγει δὲ τὸ σόφισμα ἔχειν τί τῶν ἀπὸ τῆς ἀμφιβολίας. τὸ γὰρ τούτῳ ἐτύπτετο οὗτος, διττόν. δύναται γάρ τις τὸ τούτῳ, καὶ ἀπὸ τῆς μάστιγος, δύναται καὶ ἀπὸ τοῦ ὀφθαλμοῦ νοεῖν, πλὴν περὶ τὴν σύνθεσίν ἐστι. διαιρεθεὶς γὰρ ὁ λόγος οὐκ ἔστι διττὸς, τὸ γὰρ ἐπαχθὲν τὸ εἶδες δὲ σὺ τοῦτον τυπτόμενον καὶ συντεθὲν πεποίηκε διττὸν εἶναι. καὶ τὸ ἆρα ὧ εἶδες σὺ τοῦτον τυπτόμενον τούτῳ ἐτύπτετο οὗτος. ἐπεὶ εἰ καθ' αὑτὸν ἐλέγχθη, οὐκ ἂν ἦν διττόν. καὶ ὅτι ἡ σύνθεσις ἡ τῶν ὑστέρου μετὰ τῶν προτέρου πεποίηκε τὸ διττὸν, σαφηνίζων ἐπίγαγεν, εἴπερ μὴ καὶ τὸ ὅρος, καὶ ὄρος, δυνάμει λέγων, ὅτι ὡς περ οὐδὲ τὸ ὅρος, καὶ ὄρος σημαίνει ἕτερον τῇ αὐτοῦ προσωδίᾳ λεχθέν. τοῦτο γὰρ ἐστὶ τὸ πλῆρες τῆς λέξεως. ὅταν δὲ καὶ αὐτὰ καὶ αἱ διαφοραὶ προσωδιῶν συντεθῶσι, τότε γίνεται διττὸς ὁ λόγος. οὕτως καὶ ἀπὸ τοῦ προκειμένου. τῇ γὰρ συνθέσει γέγονε καὶ οὗτος διττός. ἐὰν γάρ τις γράψειεν ἢ εἴπη, ἆρά γε τὸ ὄρος, ὅρός ἐστι, διττὸν τὸ ὀρώτημα. δύναται γάρ τις καὶ οὕτως ἀκούειν, ἆρά γε τὰ ὄρη ὁρισμοὶ καὶ λόγοι εἰσί. δύναται καὶ οὕτως, ἆρά γε τὰ ὄρη, πέτραι μετὰ δένδρων καί τινων τοιούτων εἰσίν. ἀνὰ ἐὰν ὀρωτηθῇ ἢ γραφῇ χωρὶς τῆς ψιλῆς καὶ δασείας τῶν προσωδιῶν, διττὸς γίνεται. τὰ γὰρ αὐτοῦ προσωδιῶν ἀπὸ τοῖς τοιούτοις γραφόμενα, τὰ αὐτὰ ἐστὶ τοῖς ἐρωτωμένοις. τῶν δὲ προσωδιῶν γραφεισῶν, οὐκ ἔτι διττὸς ὁ λόγος γίνεται. τὸ δὲ οὐ γὰρ ἐστὶ διττὸν τὸ περὶ τὴν διαίρεσιν, οὐχ ὡς κατασκευαστικὸν οἶμαι ἐπῆκται, τῶν μὴ εἶναι τὸ παρὸν σόφισμα περὶ τὴν ἀμφιβολίαν. ὁ γὰρ κυριώτατος τρόπος ὁ ἐκ τῆς ἀμφιβολίας μᾶλλον ἦν ἐν ᾧ τῶν ὀνομάτων οὐδὲν ἐστὶ διττὸν, ἀλλ' ἐν αὐτῷ τῷ λόγῳ ὡς ἀπὸ τοῦ γένοιτο καταβαλεῖν τὸ νῦν ἐμέ. ἐνταῦθα γὰρ τῶν μὲν ὀνομάτων οὐδὲν διττόν. ὁ δὲ λόγος. οὐδὴ οὖν ὡς κατασκευαστικὸν ἐπῆκται. δοκεῖ γὰρ λέγειν ὅτι εἰ διαιρεθέντος τῶν λόγου ἦσαν τὰ μέρη αὐτοῦ διττά, τότε ἦν ἂν τῶν ἀμφιβόλων, ὡς τῶν ἀμφιβόλων πάντων ἐχόντων τὰ μέρη διττά, ὅπερ ψεῦδος. τεσσάρων γὰρ ὄντων τρόπων ὡς καὶ πρὸ ὀλίγου εἰρήκαμεν, ἐξ ὧν τὰ δύο εἴδη συνίστανται, τό, τε ἐκ τῆς ὁμωνυμίας καὶ ἀμφιβολίας, α μὲν ὅταν ὁ λόγος, ἢ τὸ ὄνομα πλείω σημαίνει, ὃς ἐστὶ κοινὸς ἀμφοῖν ἐπίσης. β δὲ ὅταν εἰωθότες ὦ μὲν οὕτω λέγει, ὅς τις καὶ οὗτος κοινός ἐστι. γ ὅταν τὸ συντεθὲν πλείω σημαίνει, κεχωρισμένον δὲ ἐστὶν ἁπλοῦν. ὃς ἐστὶν ἴδιος τοῦ κατὰ ἀμφιβολίαν μόνου. δ δὲ τοῦ ἀντιστρόφως τούτῳ ἔχοντος, ἡνίκα τὸ μὲν συντεθὲν ἓν σημαίνει. κεχωρισμένον δὲ πολλαχῶς λέγεται, ὃς ὡς ἐπίπαν τὸν α τρόπον ποιεῖ. ἐπ' ἔλαττον δὲ καὶ τὸν β. τεσσάρων οὖν ὄντων τρόπων καὶ κυριωτάτων ὄντων περὶ τῇ ἀμφιβολῇ. ὅταν τῶν ὀνομάτων οὐδὲν ἔχῃ τὸ διττὸν, οὐκ οἶμαι, τὸ οὐδὲ γὰρ ἐστὶ διττὸν τὸ περὶ τὴν διαίρεσιν, οὕτως ἐπενεχθῆναι, ὡς λέγον, ὅτι ἂν διαιρεθὲν εἶχε τὸ διττὸν, ἦν

αὖ πρὸς τὴν ἀμφιβολίαν. ἐπεὶ δὲ οὐκ ἔστιν ὅπου, οὐκ ἔστι πρὸς τὴν ἀμφιβολίαν, ἀεὶ ἔστιν ὃ λέγει. ἐπειδὴ σύνθεσίς ἐστιν ὅπου, διαιρεθεὶς δὲ οὐκ ἔστι, πρὸς τὴν σύνθεσίν ἐστι τὸ σόφισμα. ὁμοίως δὲ καὶ τὸ ἆρα οἶδας σὺ νῦν οὖσας ἐν πειραιεῖ τριήρεις ἐν συκελίᾳ ὤν, πρὸς τὴν σύνθεσίν ἐστιν, ἄλλο γὰρ ὅλοι διαιρουμένῳ τὸ τριήρων, ἀπὸ τοῦ πειραιεῖ, καὶ ἄλλο σύνθεμένων. διαιρουμένων γὰρ ὅλοι ὅτι ἐν πειραιεῖ ὢν νῦν οἶδας τριήρεις ἐν σκελίᾳ οὔσας. σύνθεμένων δὲ τῷ πειραιεῖ τριήρεις οὔσας σὺ ὢν ἐν σκελίᾳ νῦν. ἐν δὲ τῷ ἀεὶ ἐγὼ μὲν τοῖς γεγραμμένοις τὸ αὐτὸ ὄνομα, λέγω δὲ οὐκ ἔστι δίπλοῦν. ἔστι δὲ ὃ λέγει τοιοῦτον, ἐν τοῖς γεγραμμένοις οὐκ ἔστι δίπλοῦν τὸ αὐτὸ ὄνομα, ἢ τὰ αὐτὰ ὀνόματα, ὅταν γὰρ ἐκ τῶν αὐτῶν ᾖ γεγραμμένα στοιχείων καὶ ὡσαύτως. τυπτέτω διὰ τοῦ αὐτῶν τόνων καὶ πνευμάτων, ἵν' ᾖ ἀμφότερα διασῴηται, ἢ ἀμφότερα ψιλῶται, καὶ ἢ ἀμφότερα διὰ δίχρόνου, ἢ ἀμφότερα διὰ μακρᾶν. τὸ γὰρ ἦχος καὶ ἦχος οὐ δίπλοῦν, ὅταν δὲ μὴ διὰ τῶν αὐτῶν ᾖ γεγραμμένα, ἀλλὰ διάλλων, καὶ ἄλλων, δίπλοῦν. ὡς καρᾶι τῷ κλῆμα καὶ κλίμα. τὸ μὲν γὰρ διὰ τοῦ η σημαίνει τὴν ἄμπελον. τὸ δὲ διὰ τοῦ ι, τὸ τμῆμα τῆς γῆς. οἷον εἰ τύχοι τὸ διὰ ῥόδου κλίμα, ἢ τὸ διὰ βορυσθένους. παράσημα γὰρ τὰ στοιχεῖα, ἴσως δὲ καὶ τοῖς τόνοις, μᾶλλον δὲ ἀμφότερα ἔφηκε. ἐπειδὴ γὰρ τὰ φθεγγόμενα καὶ δηλούμενα διὰ τοῦ πιοὺ ὄνομα λέγω δὴ τοῦ κλήματος, καὶ κλίματος οὐ τὰ αὐτά ἐστι, παρεσημήναντο τὸ πρὸς δήλωσιν τῶν δηλουμένων. τὸ μὲν γραφεσθαι διὰ τοῦ δίχρόνου, τὸ δὲ διὰ τοῦ φύσει μακροῦ. ἐν δὲ τῇ λέξει τῇ, τὰ δὲ φθεγγόμενα, οὐ τὰ αὐτὰ, ἦν αὖ σαφέστερον, εἰ αὐτὴ τοῦ δὲ ἦν ὁ τῆς σύνθεσις γεγραμμένος. ὡς ἂν πάντα γὰρ τοῦ διὰ τὰ παράσημα ποιοῦντα, τὸ τὰ φθεγγόμενα οὐ τὰ αὐτὰ ἐπήγαγε. τὸ δὲ ὡς πεοὺ δίπλοῦν τὸ πρὸς τὴν διαίρεσιν. ἴσον. ἔστι τῷ ὡς πεοὺ δίπλοῦν, οὐδὲ πρὸς τὴν ἀμφιβολίαν. ῥηθείσαν αὖ τὸ σόφισμα. ἐπειδὴ διήρημένα ἀπ' ἀλλήλων οὐκ ἔχοι τὸ δίπλοῦν καὶ τὸ ἀμφίβολον ἔστιν οὕτω τὸ πρὸς τὴν διαίρεσιν ταυτὸν τῷ ἀπὸ τῆς διαιρέσεως. τοῦ γὰρ σύνθετου τὸ μέρος διαιρεθέν, οὐδὲν δίπλοῦν διὰ δὲ τοῦ, οὐ γὰρ τὸ αὐτὸ ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον, καὶ τὸ φαίνεσθαι ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον, τὴν λύσιν λέγει τοῦ σοφίσματος. ἆρ' ὃ εἶδες σὺ τοῦτον τυπτόμενον τοῦτο ἐτύπτετο. ὃ δὲ λέγει ἔστιν, οὐ ταυτὸν ἐστιν ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον ἰδεῖν, τῷ ἰδεῖν τυπτόμενον ὡς μάστιξι τοῖς ὀφθαλμοῖς. εἶδον μὲν τυπτόμενον τοῖς ὀφθαλμοῖς, οὐ γὰρ τοῖς ὠσὶν ἢ τῇ ῥινὶ βλέπομεν, ἀλλὰ τοῖς ὀφθαλμοῖς. τύπτομαι δὲ ἢ τυπτόμεθα οὐ τοῖς ὀφθαλμοῖς, ἀλλὰ τῇ ῥάβδῳ. οὐ γάρ ἐστιν ὁ ὀφθαλμὸς ῥάβδος, ἵνα τις τῷ ὀφθαλμῷ τύπτηται. καὶ ὁ δυὸ δήμου δὲ λόγος. ἆρ' οἶδας σὺ νῦν οὖσας ἐν πειραιεῖ τριήρεις. οὐκ ἐν τῷ μόνον παράδειγμα τῶν σοφισμάτων τῶν πρὸς σύνθεσιν καὶ διαίρεσιν παραλογισμοῦ, ἀλλὰ διαφόρους, ὡς πάνυ δηλοῖ καὶ αὐτὸς ἐκ τῶν ἐπομένων τοὺς τιθεμένους πάντας λόγους πρὸς σύνθεσιν εἶναι ἢ διαίρεσιν, οἷός ἐστι καὶ ὁ δυὸ δήμου λόγος συμπεραινόμενος οὕτως. ἆρ' οἶδας νῦν οὔσας ἐν πειραιεῖ τριήρεις ἐν σκελίᾳ ὤν. τοῦτο γὰρ τὸ συμπέρασμα σοφίσματός ἐστι πρὸς τὴν σύνθεσιν ἔχον τὸ δίπλοῦν, καὶ δεῖ τὸ ἆρα οἶδας ὀξύνειν,

καὶ μὴ πρὸς πάντα. τὸν δὲ λόγον ἐρώτα ὁ δυὸ δήμος ἐν πειραιεῖ τυγχανων ὅτι ἀφ' ἑκατὸν ἀθηναίων τριήρεις εἰς σικελίαν ἦλθον. ἔστι δὴ τοῦ σοφίσματος ἀγωγὴ τοιαύτη. ἆρ' οἶδας σὺ νῦν ἐν πειραιεῖ εἶ; ναί. ἆρα οἶδας ἐν σικελίᾳ τριήρεις οὔσας; ναί. ἆρ' οἶδας σὺ νῦν οὔσας ἐν πειραιεῖ τριήρεις ἐν σικελίᾳ ὤν. πρὸς τὴν σύνθεσιν τὸ σόφισμα. οὐ γὰρ ἐν πειραιεῖ μα νῦν, καὶ εἰ οἶδα ἐν σικελίᾳ εἰσὶν αἱ τριήρεις ἀναγκη νῦν ἐμὲ ἐν σικελίᾳ εἶναι ἐν πειραιεῖ ὄντα, καὶ τὰς ἐν σικελίᾳ τριήρεις ἐν πειραιεῖ εἶναι. τοῦτο γὰρ σύνηγεν ὁ δυὸ δήμος τὸν λόγον ἐν σικελίᾳ εἶναι, καὶ τὰς οὔσας ἐν σικελίᾳ νῦν τριήρεις τὰς αὐτὰς ἐν πειραιεῖ νῦν εἶναι, καὶ πάλιν, ἆρ' ἔστιν ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι. καὶ τοῦτο ὀξύνειν δεῖ. συμπέρασματος ἔστι τοῦ σοφίσματος ἔχον τὸ δίπλοῦν πρὸς τὴν σύνθεσιν. ἢ γὰρ ὅτι ἀγαθὸς μέν ἐστιν καὶ σπουδαῖος. φαῦλος δὲ σκυτοδὺς καὶ ἄτεχνος. ἢ ὅτι ἀγαθὸς μὲν σκυτοδὺς καὶ ἐπιστήμων κατὰ τὴν τέχνην, φαῦλος δὲ καὶ μοχθηρὸς ἀνθρωπος, ἐφ' οὗ καὶ σύνεπεράσατο τὸ σόφισμα οὕτως ἀγόμενον. ἆρ' ἀγε ὁ σῶμων ἀγαθός ἐστι; ναί. ἆρ' ἀγε ὁ σῶμων σκυτοδὺς μοχθηρός ἐστι; ναί. ὁ σῶμων ἄρα ἀγαθὸς ὢν σκυτοδὺς μοχθηρός ἐστιν. ἐπὶ πλέον γὰρ τὰ δύο ὁρωτήματα διὰ τοῦ εἶναι δ' αὖτις ἀγαθὸς ὢν σκυτοδὺς μοχθηρός. διὰ μὲν τοῦ εἶναι αὖτις ἀγαθὸς ὢν, τὸ ἆρα γε ὁ σῶμων ἀγαθός. διὰ δὲ τοῦ, σκυτοδὺς μοχθηρός, τὸ ἆρα γε ὁ σῶμων σκυτοδὺς μοχθηρός, τοῦτο δ' ἐλυσε δυνάμει καὶ ἐν τῷ πρὸ ἑρμηνείας λέγων, οὐ γὰρ ὅσα χωρὶς λέγεται, καὶ ἅμα δύναται λέγεσθαι. οὐ γὰρ ἀγαθὸς σκυτοδὺς καὶ ἀγαθὸς, καὶ σκυτοδὺς ἀγαθός. τὸ δὲ ὥστε εἶναι ἀγαθὸς σκυτοδὺς μοχθηρός, λύσις ἐστὶ τοῦ σοφίσματος, ὡς ἔλεγεν, ἢ ἀγαθὸς μὲν εἶναι ἀνθρωπος, μοχθηρὸς δὲ σκυτοδὺς, ἀλλ' οὐχὶ μοχθηρὸς μὲν ἀνθρωπος, σκυτοδὺς δὲ ἀγαθὸς, δύναται τὸ σόφισμα καὶ τοιοῦτον δεῖναι. ἆρ' ἀγε ἐστὶν ἀγαθὸν ὄν τι σκυτέα, μοχθηρὸν εἶναι. τοῦτ' ἔστι ἆρ' ἐνδέχεται τινα ἀγαθὸν μὲν εἶναι σκυτέα, ἀνθρωπον δὲ μοχθηρόν, ναί. ἔστι δέ τις ἀγαθὸς μὲν ἀνθρωπος, πονηρὸς δὲ σκυτοδὺς, ἆρα ὡς πάνυ συμπέρασμα ἀνθρώπου, τοιαῦτα δὲ σκυτοδὺς. ἐκείνο δὲ ἐμ πάλιν. ἐν δὲ τῷ ἆρ' ὧν αὖ ἐπιστήμαι σπουδαῖα, σπουδαῖα τὰ μαθήματα, κατὰ δύο ἢ μάρτηται ὁ λόγος. καθ' ἓν μὲν ὅτι, ἐκ δύο καταφατικῶν ἐν β σχήματι συλλογίζεται. καθ' ἕτερον δὲ ὅτου δὲ σπουδαῖα ἐστὶν ὅπου φαίνεται ἐκ τῶν κειμένων συμβαίνειν, ἀλλ' ἄλλο τι. δῆλον δὲ τοῦτο ἐντυθεν. ἆρ' ὧν αὖ ἐπιστήμαι σπουδαῖα, σπουδαῖα τὰ μαθήματα, ναί. ἔστα ἐπὶ τοῦ, ἆρ' δὲ κακοῦ σπουδαῖον τὸ μάθημα. καὶ ὁρᾷς ὅτι αὖ δύο καταφατικαὶ πρότασεις μέσου ὅρου ἔχουσι τὸ μάθημα. ὅμως δὲ καὶ ἀσυλλογίστως ἡ συζυγία, οὐχ ὅπως ἐκεῖνοι ἐπιφέρουσι διὰ τοῦτων συμβαίνει. τὸ, σπουδαῖον ἄρα μάθημα τὸ κακὸν οὐ διὰ τοῦτο συμβαίνει. διὰ τὸ ἔστι κακοῦ σπουδαία ἢ ἐπιστήμη, ὅπως καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ ἀλλ' ἔστι κακῶν σπουδαία ἢ ἐπιστήμη. ὡς εἰ ἔλεγεν, οὐ σπάγεται ἐκ τῶν κειμένων τὸ σπουδαῖον μάθημα τὸ κακὸν, διὰ τὸ ἔστι κακοῦ ἢ τῶν κακῶν σπουδαία ἢ ἐπιστήμη. τὸ δὲ διὰ μὴν καὶ κακὸν καὶ σπουδαῖον μάθημα τὸ κακὸν, δύναται καὶ

ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενον νοεῖσθαι ἀπὸ τεινόντων τὸ ἄτοπον, ὡσανεὶ λεγόντων, σπουδαῖον ἄρα μάθημα τὸ κακὸν, ἀνὰ μὴν καὶ κακὸν, ὅπερ ἄτοπον. τὸ δὲ καὶ μάθημα τὸ κακὸν, ὡς κατασκευαστικὸν ὑπ' αὐτῶν λέγεσθαι τοῦ καὶ τὸ κακὸν μάθημα εἶναι, καὶ μὴ μόνον τὰ καλὰ εἶναι μαθήματα, ἀνὰ καὶ τὰ κακά. δύναται μὲν οὖν καὶ οὕτως ὡς εἴπομεν νοεῖσθαι. δύναται δὲ καὶ ὡς λύσιν τίς τοῦτο τοῦ σοφίσματος ἀπὸ νοεῖν, δυνάμει λέγοντος τὴν ἀριστοτέλους, πρῶτον μὲν οὐκ ἔστι μάθημα τὸ κακόν. εἰ δὲ καὶ θήσει τις μάθημα εἶναι καὶ τὸ κακὸν, κακὸν ἔσται μάθημα. οὐ γὰρ τὸ σπουδαῖον εἶναι συνάγεται. διὰ τῶν ἠρωτημένων, ἀνὰ τὸ, τῶν κακῶν σπουδαίαν εἶναι τὴν ἀπὸ τιμήν. τοῦτο δὲ οὐδέν ἐστιν ἄτοπον. ἐνδέχεται γάρ τινα φαῦλον ὄντα καὶ κακὸν, ἀριθμητικὸν εἶναι, σπουδαίας οὔσης ἀπὸ τιμῆς τῆς τοῦδε. ἆρα ἀληθές ἐστιν εἰπεῖν νῦν ὅτι σὺ γέγονας, τὸ σόφισμα τοιοῦτον. ἆρα γέγονας σύ; ναί. τί δὲ ἀληθές ἐστιν εἰπεῖν νῦν, ὅτι γέγονας, γέγονας ἄρα νῦν. ἄλλο γὰρ σημαίνει διαιρούμενον τὸ νῦν ἀπὸ τοῦ εἰπεῖν, καὶ ἄλλο συντιθέμενον. εἰ δέ τις ὄρωτα τὸν λόγον ἀπὸ τῆς γενομένης ἐκλείψεως. ἔσται πρὸς τὴν διαίρεσιν. οἷον ἆρα νῦν γέγονεν ἔκλειψις. ἆρα ὡς δύνασαι καὶ ἃ δύνασαι, οὕτω καὶ ταῦτα ποιήσαις ἄν. καὶ τοῦτο παράδειγμά ἐστι τοῦ πρὸς σύνθεσιν παραλογισμοῦ. ἠρωτᾶτο δὲ οὕτω πρὸς τῶν σοφιστῶν, ἆρα ὡς δύνασαι καὶ ἃ δύνασαι, οὕτω καὶ ταῦτα ποιήσαις ἄν; ναί. οὐ κιθαρίζων δὲ, ἔχεις δύναμιν τοῦ κιθαρίζειν; ναί. κιθαρίσαις ἂν ἄρα οὐ κιθαρίζων. θεὶς δὲ αὐτὸς τὸ σόφισμα καὶ τὴν ἀληθῆ προσθεὶς τοῦ σοφίσματος λύσιν. ὅτι οὐ δύναμιν ἔχει τοῦ ἅμα μὴ κιθαρίζειν καὶ κιθαρίζειν, ἀνὰ ὅτι τοῦ μετὰ ταῦτα κιθαρίσαι, καὶ ὅτι πρὸς τὴν σύνθεσίν ἐστιν ἡ παραγωγὴ καὶ τὸ σόφισμα. ἀπὸ μέμφεται τοὺς οὐχ οὕτω λύοντας μὴ δὲ λέγοντας ὅτι πρὸς σύνθεσιν ὁ παραλογισμός. ἀνὰ ἐπ' ἄλλου φερομένους καὶ λέγοντας μὴ ὃ δύναται ποιεῖν πάντως, τουτέστι καὶ ἐξ ἀνάγκης δύναται. εἰ γὰρ ταυτὸν ἦν φασὶ τὸ δυνατὸν τῷ ἀναγκαίῳ, τότε ἔδει λέγειν μὴ κιθαρίζων κιθαρίζαις ἄν. ἐπειδὴ δύνασαι κιθαρίζειν. τὸ δὲ δυνατὸν ἀναγκαῖον. πᾶν δὲ ἀναγκαῖον ὄν. πᾶν γὰρ ἀναγκαῖον ὄν. ὥσπερ καὶ πᾶν ἀδύνατον μὴ ὄν. εἰ οὖν ταυτὸν ἦν φασὶ τὸ δυνατὸν τῷ ἀναγκαίῳ. τὸ δὲ ἀναγκαῖον ὄν, ἐπειδὴ δέδωκε κιθαρίζειν δύνασθαι, δέδωκε καὶ ὅτι κιθαρίζει μὴ κιθαρίζων. ἐπειδὴ δὲ οὐκ ἔστι ταυτὸν, οὐδὲ τὸ κιθαρίζειν δέδωκεν. οὐ γὰρ φασὶ δέδωκε, καὶ ἐξ ἀνάγκης ποιεῖν, ἤτοι κιθαρίζειν. εἰ πῶν ὅτι δύναται ποιεῖν καὶ κιθαρίζειν. οὐ γὰρ ταυτόν ἐστι τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον. τούτου γάρ ἐστι δηλωτικὸν τὸ, οὐ ταυτὸν δ' εἶναι ὡς δύναται, καὶ πάντως ὡς δύναται ποιεῖν. ἀλλὰ φανερόν ἐστι, ὅτι οὐ καλῶς λύουσιν. εἰ γὰρ ὁ παραλογισμὸς ἦν ἐκ τούτου, τὸ δυνατὸν λαβεῖν ὡς ταυτὸν ὂν τῷ ἀναγκαίῳ. ἔδει τῶν πρὸς ταυτὸν λόγων τὴν αὐτὴν εἶναι λύσιν. τουτέστιν ἔδει πάντων τῶν ὁμοίων τῷ λόγῳ τούτῳ, λόγων ἤγουν τῶν πρὸς τὴν σύνθεσιν ὡς ἡμεῖς λέγομεν, ἀπατώντων, ἀνὰ μὴ πρὸς τὸ δυνατὸν, καὶ ἀναγκαῖον, ὡς ἐκεῖνοι λέγουσιν. ἔδει οὖν πάντων τούτων τὴν αὐτὴν εἶναι λύσιν. οὔτε δὲ ἐπ' ἐκείνων ἁρμόσοι ἂν ἡ λύσις αὕτη, οὔτε ἀπὸ τούτου.

ἀπὸ τούτου. εἰ οὕτω πῶς ὀρωτηθείη, ἆρ' ὡς συγχωρεῖς καὶ τίθεσαι καὶ ἃ συγχωρεῖς καὶ τίθεσαι, οὕτω καὶ ταῦτα ποιήσαις ἄν. οὐ κιθαρίζων δὲ συγχωρεῖς καὶ τίθεσαι κιθαρίζειν; ναί. οὐ κιθαρίζων ἄρα κιθαρίζεις. ἐνταῦθα ἁ μὲν ἀριστοτέλους λύσεις, ἁρμόσουσιν. ἡ δ' ἐκείνων οὐδαμῶς. οὐδὲν δὲ κωλύει τῆς λέξεως πάλιν μνησθέντα λέγειν. οὐ γὰρ πάντως φασὶ μὴ καλῶς λύοντες ὡς δύναται ποιεῖν δεδόσθαι ποιήσειν, τουτέστι οὐ κατὰ πᾶν σημαινόμενον τοῦ δυνατοῦ, δέδωκε τὸ δύνασθαι κιθαρίζειν, ἤδη καὶ τὸ μὴ κιθαρίζειν, δύνασθαι δὲ κιθαρίζειν. ἀλλὰ τὸ μὲν ὡς δύναται κιθαρίζειν κιθαρίσει, δηλοῖ, ὅτι δύναμιν ἔχω μὴ κιθαρίζων νῦν μετὰ ταῦτα κιθαρίσαι. τὸ δὲ πάντως δύναται κιθαρίζειν, δηλοῖ, καὶ τὸ ὅτε οὐ κιθαρίζει, ὅτι ἤδη κιθαρίζει. ὅπερ ψεῦδος τὸ λέγειν ὅτι δύναμιν ἔχει ὅτε οὐ κιθαρίζει τότε κιθαρίζειν, ὡς ἅμα εἶναι κιθαρίζοντα καὶ μὴ κιθαρίζοντα. λέγει οὖν ὁ ἀριστοτέλης μὴ καλῶς αὐτοὺς λύειν. εἰ γὰρ οὕτως τίς ὀρωτήσει τὸν λόγον. ἀλλ' ὡς συγχωρεῖς καὶ τίθεσαι, καὶ ἃ συγχωρεῖς καὶ τίθεσαι. οὕτω καὶ ταῦτα ποιήσαις ἄν. οὐ κιθαρίζων δὲ, συγχωρεῖς καὶ τίθεσαι κιθαρίζειν; ναί. οὐ κιθαρίζων ἄρα κιθαρίζεις. εἰ οὕτως ὀρωτότις τὸν λόγον. ἡ μὲν τοῦ ἀριστοτέλους λύσις ἁρμόσει, ἡ λέγουσα πρὸς τὴν σύνθεσιν εἶναι τὸ σόφισμα. ἡ δὲ τῶν ἄλλων λόγων οὐδαμῶς. ὅτι δὲ πρὸς τὴν σύνθεσιν τὸ σόφισμα, δῆλον. οὐκ ἔδει γὰρ συμπεράνασθαι, ὅτι οὐ κιθαρίζων ἄρα κιθαρίζεις. ἀλλ' ὅτι οὐ κιθαρίζων ἄρα συγχωρεῖς καὶ τίθεσαι κιθαρίζειν. τοῦτο δὲ οὐκ ἀδύνατον. πρὸς δὲ τὴν προσοδίαν λόγοι μὲν οὐκ εἰσιν. ὅπερ καὶ κατ' ἀρχὰς εἶπε, τοῦτο καὶ ἐνταῦθα φησὶν, ὅτι πρὸς τὴν προσοδίαν οὐ πάνυ ῥᾳδίως παραλογισμοὶ γίνοιντ' ἄν, οὔτε ἐν τοῖς γεγραμμένοις λόγοις, οὔτε ἐν τοῖς λεγομένοις. πλὴν ἐκεῖ ἔλεγεν, ὡς ἐν μὲν τοῖς ἀνευγραφῆς διαλεκτικοῖς οὐ ῥᾴδιον ποιῆσαι λόγον. ἐν δὲ τοῖς ἀγράφοις, οὐδαμῶς. πλὴν εἰ καὶ δοίημεν τινας γίνεσθαι, ὀλίγοί τινες εὑρεθήσονται. οἷόν ἐστιν, ὁ λέγων. ἆρ' ἔστι τὸ οὗ καταλύεις οἰκία; ναί. οὐκοῦν τὸ οὗ καταλύεις, τοῦ καταλύεις, ἀπόφασις; ναί. ἡ οἰκία ἄρα ἀπόφασις. πρὸς τὴν προσοδίαν τὸ σόφισμα. ἐν μὲν τῇ α προτάσει τὸ οὗ καταλύεις πρὸς σπωμένως δοθέντος, ἐν τῇ β, οὐχ οὕτω ληφθέντος. δῆλον δὲ καὶ ἐν τοῖς πρὸς τὸ ὡσαύτως λέγεσθαι τὰ μὴ ταυτά. ἐνταῦθα καὶ πρὸς τῶν πρὸς τὸ σχῆμα τῆς λέξεως γινομένων ἐλέγχων φησί. δῆλον οὖν φησὶ, πῶς ἀπαντητέον πρὸς τούτοις. εἴπερ ὥρισται ἡμῖν, ὅτι δέκα τὰ ἀνώτατα γένη. ὁ μὲν οὖν ἀποκρινομένος ὀρωτηθεὶς, εἰ ὁ σωκράτης ὅς ἐστιν οὐσία πρός τι ἐστίν; ἀνανεύει. τοῦτο γὰρ δηλοῖ τὸ μὴ ὑπάρχειν τί τούτων τουτέστι τῶν θ γενῶν ὅσα τί ἐστι καὶ οὐσίαν σημαίνει. ὁ δὲ ὀρωτῶν δείκνυσι τὴν οὐσίαν ἢ πρὸς τι, ἢ ἄλλο τι νομιζόμενον οὐσία εἶναι. οἷον ὀρωτῶν εἰ ὁ σωκράτης πατήρ. ὁ δὲ ὀρωτώμενος ὁμολογεῖ τοῦτο, οὐχὶ πρός τι καὶ συμβεβηκὸς τὸν σωκράτην νομίζων. ἀνὰ ὡς υἱὸν ἔχοντα. ὁ δὲ συνάγει εὐθὺς τῷ τὸν σωκράτην πατέρα εἶναι. τοῦτον δὲ πρός τι τὸ συμβεβηκὸς καὶ αὐτὸν εἶναι συμβεβηκός. ἔστι δὲ ἡ παραγωγὴ τῶν σοφίσματος τοιαύτη. ἆρά γε ὁ σωκράτης πατήρ; ναί. ἆρά γε ὁ πατὴρ τῶν πρός τι; ναί. ὁ σω-

κρατῆς ἄρα τῶν πρός τι, ὁ σωκράτης ἄρα συμβεβηκός. ἃ δὲ ἐφεξῆς τίθησι παραδείγματα οὐκ εἰσὶ τοῦ συνάγοντος ἐλέγχου καὶ δεικνύντος οὐσίαν συμβεβηκός, ἢ τὸ ἀνάπαλιν. ἀλλὰ τοῦ τὸ πάθος ὑπὸ τὸ ποιεῖν ἀνάγοντος. ἠρώτων γὰρ οἱ σοφισταὶ εἰ τὸ αὐτό ἐστι ποιεῖν τε καὶ πεποιηκέναι. τὴν δὲ ἀποκρινομένου ἀρνουμένου. οὐδὲ γάρ ἐστιν ἀληθῶς ταυτὸ τὸ ποιεῖν τῷ πεποιηκέναι. τὸ μὲν γὰρ πεποιηκέναι ἀπὸ τῶν ἤδη γεγονότων λέγεται. τὸ δὲ, ἀπὸ τοῦ νῦν ἐνεργοῦντος. προσηρώτων καὶ αὖθις, εἰ τὸ αὐτὸ ἐνδέχεται ὁρᾶν καὶ ἑωρακέναι. ὃ καὶ ἀληθὲς κατα φαίνεται. ὃ γὰρ εἶδον πρότερον, καὶ νῦν τὸ αὐτὸ ὁρᾶν οὐδὲν ἀπεικός. ἀλλὰ μὴν τῇ προφορᾷ τῆς λέξεως ταυτὸ δοκοῦσιν εἶναι, τὸ ποιεῖν τῷ ὁρᾶν, καὶ τὸ πεποιηκέναι τῷ ἑωρακέναι. καὶ ἢ οὐκ ἐνδέχεται τὸ αὐτὸ ὁρᾶν καὶ ἑωρακέναι, ἢ εἰ ἐνδέχεται ταυτὸ, ἐνδέχοιτο ἂν καὶ τὰ ἄλλα, καὶ πάλιν ὀρωτῶσιν, εἰ τὸ πάσχειν ποιεῖν ἐστιν. ὃ μὴ ὁμολογήσαντος τὴν ἀποκρινομένου φασὶ, ὅτι ἐπειδὴ ὁμοίως λέγεται τὸ τέμνεσθαι, καὶ καίεσθαι, καὶ ἀνθανέσθαι, ἀνάγοιντο ἂν ὑπὸ τὸ πάσχειν, ἀλλὰ καὶ τὸ τέμνειν καὶ λέγειν, καὶ τρέχειν ὁμοίως ἐκφερόμενα εἰσιν. καὶ λοιπὸν ἀναχρείησαν ὑπὸ τὸ ποιεῖν. ἀλλὰ τὸ ὁρᾶν πάθος ἐστὶ, καὶ ὑπὸ τὸ πάσχειν ἀνάγεται. φησὶν οὖν ὁ ἀριστοτέλης, ὡς εἴ τις μὴ συγχωροίη μὲν τὸ ἅμα ποιεῖν καὶ πεποιηκέναι, φαίη δὲ ἐγχωρεῖν ὁρᾶν καὶ ἑωρακέναι τὸ αὐτὸ, καὶ ἁπλῶς εἰπεῖν ταῦτα πάντα ὁμολογήσας οὐκ ἐλήλεγκται, ὅσον ἀπὸ τούτω εἰ μὴ ἐνεργείᾳ ἐρωτηθείη, τί οἴεται περὶ τὴν ὁρᾶν, εἰ ὑπὸ τὸ πάσχειν ἀνάγεται. καί τοι ὁ ἀκροατὴς ἀμαθὴς ὤν, οἴεται δοῦναι τὸ ἀποκρινόμενον τοῦτο, ὅτε δηλαδὴ ὡμολόγησε ταυτὸ εἶναι τὸ λέγειν τρέχειν ὁρᾶν καὶ τέμνειν. ὡμολόγησε δὲ καὶ ὅτι τὸ τέμνειν ποιεῖν ἐστι. πλὴν ὀρεῖ ὁ ἀποκρινόμενος κατὰ τὴν λέξιν ταυτὰ ὁμολογῆσαι ταῦτα. οὐκ ἐλήλεγκται οὖν φησιν ὁ οὗτος ἀποκρινόμενος. εἰδ' οἴεται τὸ ὁρᾶν ποιεῖν εἶναι ἐλήλεγκται ἔτι γὰρ προσδεῖται ὁ ἀποκρινόμενος ὀρωτηθῆναι. εἰ τὸ ὁρᾶν ὑπολαμβάνει ποιεῖν. εἰ δὲ καὶ περὶ τῶν ἀκουόντων ὑπολαμβάνεται συγχωρῆσαι. τοῦτο ὅτε ἠρωτᾶτο εἰ τὸ τέμνειν ποιεῖν ἔδωκε καὶ τὸ τετμηκέναι, πεποιηκέναι, καί τινα τοιαῦτα ὅμοια. ὁ γὰρ ἀκούων αὐτίκα προστίθησι ταυτὸν εἶναι τὸ ὁρᾶν τῷ ποιεῖν. τὸ δὲ οὐκ ἔστιν ὁμοίως λεγόμενον τῷ ποιεῖν. φαίνεται δὲ διὰ τὴν προφορὰν, φησὶ δὲ καὶ ὅτι ὃ συμβαίνει ἐν ταῖς ὁμωνυμίαις τὸ αὐτὸ καὶ ἀπὸ τῶν περὶ τὸ σχῆμα τῆς λέξεως. ὡς γὰρ ἐπ' ἐκείνων οὐχ ὃ κατ' ἔφησεν ὁ ἀποκρινόμενος πρᾶγμα ἀποφάσκει ὁ σοφιστής. ἀλλ' ὄνομα μὲν ταυτὸν, πρᾶγμα δὲ οὐχί. οὕτω καὶ ἐνταῦθα ὁ σοφιστὴς τὸ ὁρᾶν καὶ τὸ τέμνειν καὶ τὸ τρέχειν ὡς ὅμοια τῇ προφορᾷ λαμβάνων ἀπατᾷ, λέγων καὶ τὸ ὁρᾶν ποιεῖν, ὅπερ οὐκ ἔστιν ἔλεγχος ἀληθής. ἀλλὰ δεῖ τὸν ἐλέγξαι μέλλοντα ἀληθῶς, ὡς περὶ καὶ ἀπὸ τῶν ὁμωνύμων, οὕτως καὶ ἀπὸ τούτων ποιῆσαι, καὶ ὀρωτῆσαι, εἰ τὸ ὁρᾶν ποιεῖν ἐστιν. ἀναλήπτεον δὲ αὖθις τὸ ἄρα ἐνδέχεται τὸ αὐτὸ ἅμα ποιεῖν τε καὶ πεποιηκέναι; τὸ σόφισμα τοιοῦτον. ἆρ' ἐνδέχεται τὸ αὐτὸ ἅμα ποιεῖν τε καὶ πεποιηκέναι; οὔ. ἀλλὰ μὴν ἐνδέχεται ἅμα ὁρᾶν καὶ ἑωρακέναι. ὥς τε καὶ ποιεῖν καὶ πεποιηκέναι; περὶ τὸ σχῆμα

τῆς λέξεως τὸ σόφισμα. τὸ γὰρ ὅραν πάσχειν ἐστί. τὸ δὲ ποιεῖν, ἐνεργεῖν. οὐκ ἀνάγκη δὲ τὰ τῷ διαφόρῳ συμβαίνοντα, καὶ τῷ λοιπῷ συμβαίνειν. τοιοῦτον καὶ τὸ τοιόνδε σόφισμα. ὃ ἐγώ εἰμι, σὺ οὐκ εἶ. ἄνθρωπος δέ εἰμι ἐγώ. σὺ ἄρα ἄνθρωπος οὐκ εἶ. κἀνταῦθα, τὸ μὲν ἐγὼ καὶ σὺ ἀπὸ τῶν ἀτόμων λέγεται, ὁ δὲ ἄνος ἐπ' οὐδενὶ τῶν ἐν μέρει. γέγονεν οὖν ὁ παραλογισμὸς, διὰ τὸ, οὐ τινὶ ὡς τινὶ χρήσασθαι. τὸ γὰρ τὸ τόδε τι ἀπὸ τῆς ἀτόμου οὐσίας λέγεται, ὡς ἐν κατηγορίαις εἴρηται. δοκεῖ γὰρ φησὶν ἐκεῖ, πᾶσα οὐσία τὸ τόδε τι σημαίνειν. ἀπὸ δὲ τῆς καθόλου οὐδαμῶς. τὸ τόδε τι ἁρμόζει, εἰ καὶ δοκεῖ ὁμοίως τὸ σχῆμα τῆς προσηγορίας, ἐκ τούτων λύεται καὶ τὸ σόφισμα τὸ λέγον, μὴ εἶναι τὴν κίνησιν ἐν τῷ κινουμένῳ. εἰ γάρ ἐστιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ἢ κινητὸν ὡς ἐν τῷ γ τῆς φυσικῆς ἀκροάσεως δέδεικται. δῆλον ὅτι ἐν τῷ κινουμένῳ ἐστί. πρὸς τοῦτο ἐνίσταντο οἱ σοφισταὶ λέγοντες, οὐ λέγομεν ὁρᾷ, ὁρᾶται ὅρασις. καὶ ἀκούει ἀκούεται ἄκουσις. ἀλλὰ μὴν ὅρασις ἐν τῷ ὁρῶντι, καὶ ἡ ἄκουσις ἐν τῷ ἀκούοντι, καὶ ἡ κίνησις ἄρα ἐν τῷ κινοῦντι. περὶ τὸ σχῆμα τῆς λέξεως ὁ παραλογισμός. τὸ γὰρ ὁρᾶν καὶ ὅλως τὸ ἀνθανέσθαι πάσχειν ἐστὶν, ἀλλ' οὐ ποιεῖν. ὅμοιοι δὲ καὶ οἵδε οἱ συλλογισμοὶ αὐτοῖς, εἰ ὅτις ἔχων ὕστερον μὴ ἔχει. ἡ ἀγωγὴ τοῦ σοφίσματος τοιαύτη. ἆρ' ὅτις ἔχων μὴ ἔχει, ἀπέβαλε; ναί. ἀλλὰ μὴν ὁ δέκα ἔχων ἀστραγάλους καὶ ἀποβαλὼν τὸν ἕνα, οὐκ ἔτι ἔχει δέκα. εἰ δὲ οὐκ ἔχει δέκα, εἶχε δὲ τοὺς δέκα. ἀπέβαλεν ἄρα τοὺς δέκα, ὅπερ ἄτοπον γὰρ τὸν ἕνα ἀστράγαλον ἀποβαλόντα, φάσκειν δέκα ἀποβεβληκέναι. τὸ μὲν σόφισμα τοιοῦτον. τινὲς δὲ λύειν πειρώμενοι φασὶ μὴ ἄτοπον εἶναι τὸ φάσκειν, ὅτι τοὺς δέκα ἀπέβαλεν. οὐ γὰρ ἔτι ἔχει δέκα τὸν ἕνα ἀποβαλὼν, μεθ' οὗ καὶ ἦσαν οἱ ἐννέα ἀστράγαλοι δέκα. οὕτω μέν τινες λύειν δοκοῦσιν. ἀλλὰ δῆλον ὅτι οὐ καλῶς. ἡ γὰρ τοιαύτη λύσις πρὸς μὲν τὸν ἄνθρωπόν ἐστι, πρὸς δὲ τὸ πρᾶγμα οὐκ ἔστι. τὴν δ' ἀληθῆ λύσιν τὴν πρὸς τὸ πρᾶγμα σαφῶς ἡμῖν ἐφεξῆς τοῦ σοφίσματος ὁ ἀριστοτέλης παρατέθεικεν, ἐν τῷ λέγειν, ἢ ὃ μὲν μὴ ἔχει πρότερον καὶ ἑξῆς, δυνάμει λέγων, ὅτι ὃ μέν τις πρότερον ἔχων ὕστερον οὐκ ἔχει, ἐξ ἀνάγκης ἀποβέβληκεν, οὐ μὴν δ' ὅσον οὐκ ἔχει, ἢ ὅσα οὐκ ἔχει ἀνάγκη τοσαῦτα ἀποβαλεῖν. οὐ γὰρ εἰ μὴ ἔχει δέκα ἔχων δέκα πρότερον, ἀνάγκη δέκα ἀποβαλεῖν. ἀλλ' ἀποβαλεῖν μέν τινα. οἷον τρία ἢ πέντε ἤ τι ἄλλο τῶν τοῦ δέκα μερῶν, δέκα δὲ οὐχί. ὅτι δὲ καὶ τοῦτο τὸ σόφισμα περὶ τὸ σχῆμα τῆς λέξεώς ἐστι, δῆλον ἐντεῦθεν ὅτι ὁ μὲν ἀριθμὸς, ποσόν. ἡ δὲ δεκὰς, ποιόν. ὥς τε καὶ τὰ τρία μόνον καὶ ἁπλῶς τὰ εἴδη. εἰδὴ ὀρωτήσας ἀπὸ τοῦ ποιοῦ συνάγει ποσόν. ἔχων γὰρ πρότερον δεκάδα, οὐκ ἔχει δεκάδα. ἔχει γὰρ τὸν θ. οὐ γὰρ εἰ μὴ ἔχει τὸν δέκα, ἀνάγκη δέκα μονάδας ἀποβαλεῖν. ἐρωτήσας οὖν ποιὸν συνάγει ποσόν. περὶ τὸ σχῆμα ἄρα τῆς λέξεως καὶ τοῦτο τὸ σόφισμα. δῆλον δὲ τοῦτο καὶ ἐντεῦθεν. ὀρωτήσας γὰρ ἀπὸ τῆς δεκάδος ἥτις ἐστὶ ποιόν. τὰ γὰρ ἤδη οὐσιώδεις ποιότητες, συνάγει τὸ ὅσα. ἤγουν ἐρωτήσας ποιὸν, συνάγει ποσόν. εἰ γὰρ φησὶ μὴ οὕτως ὡς προηνέχθη τὸ σόφισμα, ἠρώτα ὁ σοφιστής. ἀλλ' οὕτως. ἆρ' ἄγε εἴ τις μὴ ἔχοι ὕστερον

ὅσα εἶχε πρότερον. ἀσυμβέβληκε τοσαῦτα. οἷον εἴτις μὴ ἔχοι δέκα ἔχων πρό-
προν δέκα, ἀσυμβέβληκε δέκα. οὐδεὶς αὖ ἔδωκεν, ἀλλ' ἢ τοσαῦτα ἢ τούτων τι,
τουτέστιν ἀφ' ἑτέρων αὖ ὅτι δέκα μὲν οὐκ ἀσυμβέβληκε τοσαῦτα δέ, οἷον εἰ τύχοι
τρία, ἢ τι τῶν τοῦ δέκα μοιρῶν. καὶ ὅτι δοίη τις αὖ ὃ μὴ ἔχει. οὐ γὰρ ἔχει ἕνα
μόνον ἀστράγαλον. τὸ σόφισμα τοιοῦτον. ἆρα δοίη αὖ τις ὃ μὴ ἔχει; οὐ. ὃ δὲ δὲ
οὐκ ἔχε μόνον ἕνα ἀστράγαλον, δέδωκε δὲ ἕνα. δέδωκεν ἄρα ὃ οὐκ ἔχε μὴ ἔχων
γὰρ ἕνα, δέδωκεν ἕνα. δοίη αὖ τις ὃ μὴ ἔχει. ἡ λύσις ὅτι οὐ δέδωκεν ὃ οὐκ ἔχε,
πολλὰ γὰρ ἔχων, ἓν ἔχε καὶ ἕνα. ὥς τε οὐ δέδωκεν ὃ οὐκ ἔχεν. ἔχε γὰρ τὸν ἕνα.
ἀλλ' ὡς οὐκ ἔχε. μὴ ἔχων ἕνα μόνον, δέδωκεν ἕνα μόνον. ὡς γὰρ τὸ μόνον, οὔτε τὸ
δέπι σημαίνει, οἷον οὐσίαν. οὔτε ποιόν. οὐδὲ ἑνὸς γὰρ τοῦτ' ἐστὶ σημαντικόν, ἀλλ' ὡς αὖ
ἔλαττόν τις ἄχετον χέσιν. οἷον ὅτι καθ' ἑαυτόν ἐστιν, ἀλλ' οὐ κατά τινος ἄλλου. οὕτως
καὶ τὸ μὴ μόνον, τὸ μετ' ἄλλου οὐ δηλοῖ. σαφηνίζων δὲ τὸ παραλιφθὲν σόφι-
σμα, καὶ ἕτερον προσλαμβάνει παράδειγμα τόδε. ἆρ' ὃ μή τις ἔχει δοίη αὖ;
οὐ. ἆρά γε δοίη αὖ τις παχέως μὴ ἔχων παχέως; ναὶ δοίη αὖ τις λοιπὸν ὃ μὴ
ἔχει. λύων οὖν καὶ τοῦτο τὸ σόφισμα λέγει, τὸ γὰρ παχέως οὐτόδε δίδόναι, ἀλλ'
ὡδὶ δίδόναι ἐστίν. ὅπερ ἐπὶ σόν ἐστι τῷ. τὸ γὰρ παχέως, τὸν τρόπον τῆς δόσεως δη-
λοῖ πως δίδωσι. οὐ μὴν ὃ οὐκ ἔχει ἢ ὃ ἔχει. ὁμοίως δὲ οἱ τοιοῦτοι παίπτες. ἆρ' ἢ
μὴ ἔχει χειρί. τὸ τῆς λέξεως ἀκόλουθον τοιοῦτον ἆρα ἢ μὴ ἔχει χειρὶ, τύ-
πτοι αὖ, ἢ ᾧ μὴ ἔχε ὀφθαλμῷ, ἴδοι αὖ. ἢ ἐνδέχεται ὃ μὴ ἔλαβεν ἔχειν. τὰ δὲ
μεμιξευ λύσεις εἰσὶν, αἷς πῃ ἐπῆγον λύοντες τὰ σοφίσματα, ἃς οὐκ ἀσυνδέχε-
ται ὁ ἀριστοτέλης. σύνεσυμβαίνετο δὲ τὰ σοφίσματα τοῖς ἔχουσι δύο χεῖρας, καὶ
δύο ὀφθαλμοὺς, καὶ πλείω ψηφίσματα ἑνός. οὕτως ἆρα ἢ μὴ ἔχει τὶς χειρὶ,
τύπτοι αὖ. ὃ δὲ δὲ οὐκ ἔχει μίαν χεῖρα μόνην, ἀλλὰ δύο, τύπτοι δὲ τῇ μιᾷ ἢ ἄρα
χερὶ οὐκ ἔχε τύπτοι. μὴ ἔχων γὰρ μίαν μόνον, τύπτοι τῇ μιᾷ μόνον. ἢ λύσις ὅτι οὐ
τύπτει ἢ οὐκ ἔχει, ἀλλ' ὡς οὐκ ἔχει. μὴ ἔχων γὰρ μίαν μόνην, τύπτει τῇ μιᾷ μόνη.
πάλιν αὖ ᾧ μὴ ἔχοι τὶς ὀφθαλμῷ ἴδοι αὖ; οὐ. ὃ δὲ δὲ οὐκ ἔχε μόνον ἕνα ὀφθαλ-
μὸν καὶ βλέπει τῷ ἑνί. καὶ τοῦτο οὐ ψεῦδος. ἐνδέχεται γὰρ τὸν ἕνα λήμην ἔχον-
τα μὴ βλέπειν. τὸν δ' ἕναυγιῆ ὅπτα βλέπειν. πάλιν ἆρ' ἐνδέχεται ὃ μὴ ἔλα-
βέ τις, ἔχειν. ὃ δὲ δὲ λαβὼν μίαν μόνην ψῆφον πού τόδε. μίαν γὰρ τούτου ὄντος
μίαν καὶ οὔτος ἔλαβεν. λαβὼν δὲ μίαν οὐκ ἔχε μίαν, ἅτε αὐτὴ γὰρ καὶ ἑτέρας
ἔχε ὃ ἆρα οὐκ ἔλαβεν ἔχε. ἡ λύσις, ὅτι καὶ ὃ ἔλαβεν ἔχε, πρὸς τοῦτο δὲ ἔχει
καὶ ἄλλα. λύουσι μὲν οὖν τινες ὅτι ὀφθαλμὸν ἕνα καὶ χεῖρα μίαν ἔχε. ἐπεδὴ γὰρ
τῇ μὲν μιᾷ τύπτει. καὶ τῷ ἑνὶ ὀφθαλμῷ ὁρᾷ, πρὸς τὰς τοιαύτας ἐνεργείας. οἷον
τὸ ὁρᾶν καὶ τύπτειν. καὶ ἕνα ὀφθαλμὸν ἔχειν καὶ μίαν χεῖρα. οἷς γὰρ χρῆται ἐνερ
γῶν, ταῦτα καὶ ἔχε πρὸς τὴν ἐνέργειαν, ἣν νῦν ἐνεργεῖ. τὸ δὲ καὶ ἄλλο ὃ τοιοῦν
ὃ πλείω ἔχων, ἅτε διὰ τὸν τὰς πλείω μιᾶς ψήφους ἔχοντα. ἀλλὰ καὶ ψῆφον φα-
σὶν ἐκ τῆς λήψεως μίαν ἔχε. ἕνα γὰρ λαβὼν ἐκ τοῦδε καὶ ἕνα ἔχε πρὸς τοῦδε. ἓν
δὲ τῇ λέξει τῇ οἱ δὲ, καὶ ὡς ὃ ἔχε, ἔλαβε, τὸ λεχθὲν ὁμοίως ἐστὶν, ὅτι λαβὼν ἕνα, καὶ

ἕνα ἐκ τοῦ λαβεῖν ἔχε. τὸ δὲ ἐδίδου μίαν μόνον οὔτος ψῆφον, κατασκευαστόν
ἐστιν, ὃ δὲ δὲ λαβὼν μίαν μόνην ψῆφον πού τόδε, οὐκ ἔχει μίαν εἰ γὰρ φασὶ μί-
αν μόνην ὁ δὲ ἐδίδου, καὶ μίαν ὃ λαβὼν ἐλάμβανεν, ὁ δὲ διὰ ἢ οἱ δὲ διὰ τὴν ἐ-
ρώτησιν συναιροῦντες, τοιοῦτόν ἐστι. τῶν λυόντων τὰ προβρηθέντα σοφίσματα, οἱ
μὲν πρὸς τὸ συμπέρασμα ἐνίστανται οἱ δὲ πρὸς τὴν πρόπτωσιν. οἷον ὁρῶσιν οἱ
σοφισταὶ, ἆρ' εἰκὸς τύπτειν τινὰ, ἃ μὴ ἔχει χειρί, οὐ. ὁ δὲ δὲ μὴ ἔχων μίαν χεῖρα,
ἀναὶ δύο, ἔτυπτε τῇ μιᾷ. ἔτυπτε λοιπὸν ἃ οὐκ ἔχει χειρί. οὐδὲ γὰρ εἶχεν ἐκείνην
μόνην. οἱ μὲν οὖν δύβυς ἐνίστανται πρὸς τὸ συμπέρασμα μίαν οὖν λέγοντες ἔ-
χε τὴν ἐνεργοῦσαν. ἄλλοι δὲ ἐνίστανται πρὸς τὴν πρότασιν, καὶ ἀληθῆ ταύτην
ἄγαν φασίν. ἔστω γοῦν φησὶν ἐπεὶ δὴ ψεῦδος τὸ μὴ τύπτειν, ἀληθὲς τὸ τύπτειν μεθ'
ἃς οὐκ ἔχε χέρος. ὃ βούλονται οἱ σοφισταὶ συναγαγόντες ὡς ἄτοπον καὶ ἀδύνατον. εἰ
γοῦν ἀληθὲς, οὐ δὲ λύσιμον ἔστω. ἀναὶ μὴν λύσιμόν πού τόδε. ὁρῶμεν γὰρ πρὸς τὸν
σοφιστὴν, ὅτι ὁ ἀσυκρινόμενος δέδωκε τύπτειν μεθ' ἃς οὐκ ἔχε χέρος, οὐχὶ τῆς
μὴ οὔσης ὅλως, ἀναὶ τῆς λαιᾶς. τύπτειν γὰρ ἔφησε μέλλει τῆς δεξιᾶς ἣν οὐκ ἔχε λαι-
αν, ἢ τῆς ἢ σωκράτους χέρος. τὸ δὲ, ἃ γὰρ ἦν αὖτη λυθῆς, δόντα τὸ αὐτικείμενον
οὐχ οἷόν τε λύειν. ἴσον ἐστὶ τῷ, ἃ γὰρ αἱ ἀληθεῖς ἢ ἢ πράγματος αὖται ἦσαν λύ-
σις, ἃ τις δοίη τὸ αὐτικείμενον οὐκ αὖ λυθείη τὰ σοφίσματα. τὰ γὰρ αὐτικείμενα
τοῖς κρείττοσιν ἀληθῆ ἔσται. ὡς τε καὶ τὰ διὰ ἢ κρείττων σώματα. πῶς δὲ ἢ αὖ,
τὴν λύσις ἔσται ἢ αὐτικρείττων. ἃ γὰρ εἴητις, ἆρ' ἢ μὴ ἔχε τὶς χρεὶ τύπτοι αὖ. ὁ δὲ
ἀσυκρινόμενος εἴητοι, ναί. εἶτα ἐπαξιοῖ ὁρᾶν τῶν, ἀναὶ μὴν ὁ ἀλκιβιάδης οὐκ ἔ-
χε τὴν ἢ σωκράτους χεῖρα καὶ τύπτει. ὁ ἀλκιβιάδης ἆρα τύπτει τῇ ἢ σωκρά-
τους χρεὶ ἦν οὐκ ἔχε. τοῦτο πῶς αὖ λυθείη διὰ τῆς παρεκείνων λύσεως. ἃ οὖν αὖ-
τη φησὶν ἡ λύσις ἢ πράγματος ἦν καὶ οὐ πρὸς τὸν αὐθρωπον, δόντος τὸ αὐτικεί-
μενον, οὐχ οἷόν τε, ἦν λυθῆ. τὸ γὰρ αὐτικείμενον τῷ δοθέντι, εἰ πρὸς τοῦτο ἦν τὸ ψεῦ-
δος, ἀληθὲς ἐξ ἀνάγκης ἔσται. τὸ γὰρ αὐτικείμενον τῷ ψεύδει παρὸ τὸ ψεῦδος ἀ-
ληθές ἐστιν. ἀναὶ μὴν, καὶ ἢ αὐτικειμένου δοθέντος, λύσις γίνεται. οὐκ ἄρα πρὸς τοῦ-
το τὸ ψεῦδος, ἢ μᾶλλον, ὃ ἔλεγχος γίνεται. ὅτι δὲ καὶ τοῦ αὐτικειμένου δοθέν-
τος τοῦ δύνασθαι τύπτειν, ἢ μὴ ἔχε χρεὶ, λύσις γίνεται, φανερόν. φήσαντες γὰρ
ὅτι πρὸς τὸ μὴ τὰ αὐτὰ ὡσαύτως λέγεσθαι λύσομεν. δόντες γὰρ ἐκείνου τύπτειν
μὴ, ἢ οὐκ ἔχε χρεὶ, ἀλλ' ἢ ὡς οὐκ ἔχε, σὺ ἆρ' τοῦ ἢ μὴ ἔχε σὺ ἀγάγε. ἀλλὰ κἂν
ἕτοι μὴ, ὅτι τῇ δεξιᾷ τύπτει, ἣν οὐκ ἔχε λαιᾷ, καὶ οὕτω λύσομεν. ἡ γὰρ δεξιὰ
χεὶρ οὐκ ἔστι λαιά. ὡς τε ὁ δοῦς τύπτειν ἢ μὴ ἔχει χρεὶ, οὐ τῇ ἀλλοτρίᾳ τύ-
πτειν, ἣν ὅλως οὐκ ἔχε δέδωκεν, ἀλλὰ ἐκείνῃ τύπτειν ἔφησεν, ἣν ὡδὶ μὲν ἔχε,
ὡδὶ δὲ οὐκ ἔχε. ὅλως μὲν γὰρ ἔχε, τὸ γὰρ μόριος αὐτοῦ ἔχε, ὡδὶ δὲ οὐκ ἔχε. λαι-
αν γὰρ τὴν δεξιὰν οὐκ ἔχε. λύσομεν οὕτω τὸ σόφισμα. λυθήσεται γὰρ καὶ
ἄλλως. τύπτοι γὰρ αὖτις τὶνα, οὐ τῇ μὴ ἑαυτοῦ χειρὶ, ὡς πρὶν εἴτις τὴν τοῦ πατρὸς
χεῖρα κρατῶν, τύπτει τὸν πατέρα αὐτοῦ μετ' αὐτῆς τῆς πατρικῆς χειρός.
σημεῖους οὖν ἀμαθίας τοῦ λόγου, σημεῖον οὐχὶ τῆς τυχούσης κακίας ἐμφάνισις.

καὶ τοῦ πράγματός ἐστι λύσις. ἀλλ' ἢ παρ' ἣν ψεῦδος, ὡς ἀπὸ τοῦδε. ὁ σωκράτης
κάθηται. ὁ καθήμενος γράφει. ὁ σωκράτης γράφει. τοῦτο δὲ ψεῦδος. ἐν ταῦθα
οὐ διὰ τὸ τὸν σωκράτην καθῆσθαι τὸ ψεῦδος. κἂν ἀτύχει ψεῦδος ὂν τὸ τὸν σω-
κράτην καθῆσθαι. ἀλλὰ διὰ τὸ τὸν καθήμενον γράφειν, ἀλλὰ τοῦτο μὲν τοιοῦ-
τον. τὰ δὲ εἰρημένα σοφίσματα πρὸς μόνα τὰ ἐσχάτως εἰρημένα ἔχει τὴν μοχη-
ρίαν. τὰ δὲ ἐσχάτως ῥηθέντα ἦσαν τὸ, ὅ δὲ δὲ οὐκ ἔχει μίαν μόνην χεῖρα, τύπτει
δὲ τῇ μιᾷ καὶ τό. ὅ δὲ μὲν οὐκ ἔχει ἕνα μόνον ἀστράγαλον. δέδωκε δὲ ἕνα μόνον.
καὶ τὸ, ὅ δὲ μὲν ἔχων δέκα ἀστραγάλους, καὶ ἀποβαλὼν τὸν ἕνα, οὐκ ἔχει δέ-
κα, καὶ τὰ λοιπά. ὁ οὖν ταῦτα ἐμφανίσας λύει. ἀλλ' οὐχὶ, ὁ λέγων, ὅτι τὸ δύ-
νασθαι πολλαχῶς. καὶ ἔτι ἐνδέχεται, ὃ μὴ ἔλαβεν ἔχειν. καὶ τὰ τούτοις ὅμοια.
εἰ γὰρ ἦν αὕτη λύσις, δόντα τὸ ἀντικείμενον, οὐχ οἷόν τε, ἦν λύειν, εἴπερ ἦν φησὶ
αὕτη λύσις τοῦ ὅπερ οὐκ ἔλαβέ τις ἔχει. ἔχει γὰρ ψήφους πολλὰς μίαν πρὸς τι-
νὸς εἰληφώς. εἰ οὖν λύσις, ἦν τούτου, τὸ μίαν ἔχειν, ἐπεὶ καὶ μίαν ἔλαβε, παρ' ἐ-
κείνου δόντος τὸ ἀντικείμενον, οὐχ οἷόν τε, ἦν λύειν. εἰ γὰρ τῆς καταφάσεως δο-
θείσης τῆς ὃ ἔλαβεν ἔχει, τὸ συναγόμενον δι' αὐτῆς ψεῦδός ἐστι καὶ λύσιμον, τὸ
διὰ τῆς ἀποφάσεως τεθείσης τῆς ὃ οὐκ ἔλαβεν ἔχει συμβαῖνον, ἀληθὲς ἔσται
δηλονότι καὶ ἄλυτον. ἀλλὰ μὴν καὶ ταύτης τεθείσης τὸ συμβαῖνον ψεῦδός ἐστι.
δῆλον ᾧ δὲ πότερον ὃ ἔλαβέ τις, τοῦτο ἔχει, οὐ. εἶτα ῥητέον. ἀλλὰ μὴν οὗτος ἔ-
λαβε παρ' αὐτοῦ μίαν ψῆφον καὶ ἔχει αὐτήν. ὃ ἄρα ἔλαβεν ἔχει, καὶ οὐχ ὃ οὐκ
ἔλαβεν. ἀνὰ μὴν ἔχει καὶ ἄλλας, ἃς οὐκ ἔλαβεν παρ' αὐτοῦ, ἐφ' ὧν ἀληθεύσει
τὸ, ἔχει ἃ οὐκ ἔλαβεν, οὐκ ἄρα ἐστὶν ἡ εἰρημένη λύσις τῆς πράγματος, ἀνὰ πρὸς
τὸν λέγοντα. λύσις δέ ἐστιν, ἥν φησιν ὁ ἀριστοτέλης, ἡ λέγουσα τὸ, ὅτι οὐ ταυτὸν ἐ-
στι τὸ ὃ ἔλαβε τῷ ὡς οὐκ ἔλαβε. τούτου γὰρ ληφθέντος γέγονεν, ὁ παραλογισμός.
δόντος γὰρ τοῦ ἀποκρινομένου, τὸ ὃ ἔλαβεν ἔχει, οὐ συνήγαγε τὸ, ὃ οὐκ ἔλαβεν
ἔχει, ὅπερ ἐστὶν ἀντίφασις, τοῦ ὃ ἔλαβεν ἔχει. ἀλλὰ τὸ ὡς οὐκ ἔλαβεν ἔχει, ὅ-
περ πάλιν ἐστὶν ἀντίφασις τοῦ, ὡς ἔλαβεν ἔχει. ὥς τε ἀπὸ τοῦ μὲν, ὃ ἔλαβεν ἀπό-
φασις ἐστὶ τὸ, ὃ οὐκ ἔλαβε. τῆς δὲ ὡς ἔλαβε τὸ, ὡς οὐκ ἔλαβε. λαβὼν δὲ τὸ ὃ ἔλα-
βεν ἔχει, συνήγαγε τὸ ὡς οὐκ ἔλαβε, τὴν ἀπόφασιν, τοῦ ὡς ἔλαβε, τὸ ὃ ἔλαβε
καὶ τὸ ὡς ἔλαβεν, ὡς ταυτὸν εἰληφὼς, καὶ συναγαγὼν τὸν παραλογισμόν. εἰ
δὲ ἐκ τῆς λαβεῖν τὸ ὃ ἔλαβεν ἔχει, ὡς ταυτὸν τῷ, ὡς ἔλαβε γέγονεν, ὁ παραλο-
γισμός. δῆλον ὡς ἡ λύσις αὕτη ἐστὶ, τὸ μὴ τὰ ὡσαύτως, ἢ λεγόμενα, ἢ ὄντα, ὡσαύ-
τως λαβεῖν, ἢ λέγοι ἂν διὰ τοῦ. εἰ γὰρ ἦν αὕτη λύσις, δόντα τὸ ἀντικείμενον, οὐχ
οἷόν τε ἦν λύειν. εἰ γὰρ ἦν ὅπερ ἡμεῖς λέγετε, καὶ οὐχ ὅπερ ἐγώ. ἐγὼ γὰρ φημὶ
μὴ ταυτὸν εἶναι τὸ ἔλαβε, τῷ ὡς ἔλαβεν. εἰ οὖν ψεῦδός ἐστιν, ὅπερ ἐγώ φημι καὶ
οὐ πρὸς τῆς γέγονεν, ὁ παραλογισμὸς, δόντος τὸ ἀντικείμενον ὅπερ ἐστὶ τὸ ταυ-
τὸν εἶναι, τὸ γὰρ λέγειν, ὅτι ταυτόν ἐστι τὸ ἔλαβεν, τῷ ὡς ἔλαβεν, ἀντίκεινται τῷ
μὴ ταυτὸν εἶναι. δόντος οὖν τὸ ἀντικείμενον, ἀληθὲς ἂν ἦν τὸ συμβαῖνον. νῦν δὲ
δοθέντος τοῦ ταυτὸν εἶναι τὸ ἔλαβε, τῷ ὡς ἔλαβε, μᾶλλον τὸ συμβαῖνόν ἐστι

ψεῦδος. ἀλλὰ ῥητέον ἔτι πρὸς τοῦ αὐτοῦ διὰ τὸ ἀσαφῶς εἰρῆσθαι, εἰ πρὸς ταῦ-
τα ἦν τὸ σόφισμα, δόντος τὸ ἀντικείμενον, οὐχ οἷόν τε ἦν λύειν εἰ γὰρ πρὸς ταῦ-
τα ἦν, ψευδῆ ἂν ἦσαν. δι' ἃ γὰρ τὸ ψεῦδος, ἐκεῖνα ψευδῆ. ὥς τε τὰ ἀντικεί-
μενα αὐτοῖς ἀληθῆ εἶναι ἀναγκαῖον. τὰ γὰρ ἀντικείμενα τοῖς ψευδέσι πάντως
ἀληθῆ. ἀλλὰ μὴν τὸ ἐξ ἀληθῶν ἀληθὲς, καὶ ἄλυτον. νῦν δὲ τὸ ἐκ τῶν ἀντικειμέ-
νων, ψεῦδος καὶ λύσιμον. οὐκ ἄρα πρὸς τοῦτο τὸ ψεῦδος, οὐδὲ ταῦτά ἐστιν αἴτια
τοῦ σοφίσματος. οὐκ οἷόν τε ἦν λύειν φησὶ, εἰ πρὸς ταῦτα ἦν τὸ ψεῦδος, καθά-
περ, καὶ ἀπὸ τῶν ἄλλων, καί τινα τ' ἄλλα ἐπήγαγε λέγων. οἷον εἰ ἔστι μὲν ὅ. ἔστι
δὲ ὃ οὔ. φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως. οἷον εἰ ἔστι μὲν, ἔστι δὲ οὔ. δι'
ἀμφοτέρων δὲ τὸ αὐτὸ δηλοῦται. εἴη δ' ἂν τὸ λεγόμενον δυνάμει τοιοῦτον. ὥς
περ καὶ ἀπὸ τῶν ἄλλων, ἐφ' ὧν τὸ ἀντικείμενόν ἐστιν ἀληθὲς, ἀφαιρεθέντων τῶν ψευ-
δῶν, καὶ τεθέντων τῶν ἀληθῶν, τὸ συμβαῖνον ἀληθές ἐστι, καὶ ἄλυτον. οὕτω καὶ
ἀπὸ τῶν προκειμένων, εἰ πρὸς τὰ τεθέντα σοφίσματα ἐγίνετο, διὰ τὸ ψευδῆ τυγ-
χάνειν, τεθέντων τῶν ἀντικειμένων καὶ ἀληθῶν, καὶ ἀληθῆ ἂν εἴησαν τὰ συμ-
βαίνοντα καὶ ἄλυτα. νῦν δὲ καὶ ψευδῆ καὶ ἄλυτα. οὐκ ἄρα πρὸς τὰ πρώτως τε-
θέντα, ἃ καὶ λύειν οὗτοι πειρῶνται. ἀλλὰ πρὸς τὰ ἐσχάτως ἐπενηνεγμένα. ἔστι δὲ
οὖν τὸ οἷον, εἰ ἐστὶ μὲν ὅ ἐστιν, ἔστι δὲ ὃ οὔ. ἴσον τῷ, οἷον, εἰ τὸ μέν ἐστιν ἀληθές. τὸ
δὲ ψεῦδος. τεθέντος τοῦ ἀληθοῦς, ὅπερ ὃ εἶπεν, ἄλυθον ἂν ἦν. ταῦτα εἰπὼν ἐπά-
γει. ἡ λύσις, ἂν ἁπλῶς δῶ λέγεσθαι, συμπεραίνεται, δυνάμει λέγων, ἡ μὲν ὑπ' ἐ-
κείνων λεγομένη λύσις, μοχηρὰ καὶ ἀδόκιμος. ἡ δὲ ἀληθής. ὅτι, εἰ μὲν ἁπλῶς δῶ
λέγεσθαι. τουτέστιν εἰ μὲν τὰ μὴ ὡσαύτως λεγόμενα, ὡσαύτως δῶ λέγεσθαι,
συμπεραίνεται καὶ ἐλέγχει. εἰ δὲ μὴ δῶ, οὐ συμπεραίνεται. εἰ δὲ μὴ συμπεραί-
νεται, οὐκ ἂν εἴη λύσις. καὶ δεῖ προσυμπακούειν τὸ, ἣν ἐκεῖνοι μοχηρῶς λύον-
τες ἐπάγουσιν. ἀλλὰ λύσις ἔσται, ἣν αὐτὸς εἶπε. τὸ, ἐν δὲ τοῖς ἐρημένοις πάντων
διδομένων. ἴσον ἐστὶ τῷ, ἐν δὲ τοῖς ἐρημένοις ἐλέγχοις, καὶ σοφίσμασι πάντων
συγχωρουμένων αὐτοῖς τοῦ τύπτειν ᾗ μὴ ἔχει χειρὶ, τοῦ ὁρᾶν ᾧ μὴ ἔχει ὀφθαλ-
μῶ. οὐ συμπεραίνονται οὐδ' ἔλεγχον οὗτοι συλλογίζονται. ὥς τε οὐδὲ οὗτοι κα-
λῶς λύουσιν. ἔτι δὲ καὶ οἵδ' εἰσὶ τούτων τῶν λόγων. ἆρα ὃ γέγραπται δή-
γραφέ τις. τοιοῦτόν ἐστι τὸ σόφισμα. ἆρα ὅπερ ἐγράφη τοῦτό τις ἔγρα-
ψε; ναί. γέγραπται δὲ ὁ λόγος, ὅτι νῦν σὺ κάθησαι, ὅς τίς ἐστι καὶ ψευδὴς, διὰ τὸ
κινεῖσθαί σε, ἢ καὶ ἵστασθαι. ἦν δὲ καὶ ἀληθὴς οὗτος, ὁ λόγος ὅτι ἐγράφη. ὁ αὐτὸς
ἄρα λόγος ἐστὶ, καὶ ἀληθὴς, καὶ ψευδής. πρὸς τοῦτο γοῦν τὸ σόφισμα ἐπῆ-
κται παρὰ τοῦ ἀριστοτέλους λύσις τοιαύτη. ὅτι σὺ μὲν ὦ σοφιστὰ τὴν ἐρώτησιν
ἀπὸ ποσοῦ ποιησάμενος, συνάγεις ἀπὸ ποιοῦ. ἐρωτήσας γὰρ, τίς ἆρα ὃ γέγρα-
πται τοῦτό τις ἔγραψε. καὶ ἐμοῦ συγκατανεύοντος τῇ ἐρωτήσει σοῦ, καὶ
ὡς ἀπὸ λόγου τὴν κατάνευσιν ποιησαμένου. ὅς ἐστι τοῦ ποσοῦ, συνάγεις ἀπὸ τοῦ
ποιοῦ. δυνάμει λέγων, ὁ ἀριστοτέλης διὰ τοῦ, τὸ γὰρ ψευδῆ, ἢ ἀληθῆ λόγον, ἢ δό-
ξαν εἶναι. οὐ τόδε σημαίνει, ἀλλὰ τοιόνδε. ὅταν γὰρ τὴν ἐρώτησιν προὔτεινε

τὴν ἄρα ὁ γέγραπται γέγραφέ τις, ἀπὸ τοσοῦ μόνου ταύτην ἠρώτησας. ἀπὸ γὰρ
λόγου ἠρώτησας, ἢ συλλαβῆς, ἢ λέξεως, ἅτινα ὑπὸ τὸ ποσὸν ἀνάγονται, ὡς με-
μαθήκαμεν. ὅταν δὲ συνῆξας τὸ συναχρὲν, ἀπὸ τοιοῦ συνῆξας. τὸ γὰρ ψευδὲς, καὶ
ἀληθὲς τοῦ τοιοῦ εἰσι. τὸ δ' ἄρα ὃ μανθάνει, ὃ μανθάνων, τοιοῦτόν ἐστι τὸ σόφισ-
μα. καὶ οὕτω προήγετο κατὰ τὴν ἐρώτησιν. ἆρ' ὃ μανθάνει τις τοῦτό ἐστιν. ὃ μαν-
θάνει; ναί. μανθάνει δέ τις τὸ βραδὺ, ταχὺ, ἔσται ἄρα τὸ βραδὺ ταχύ. πρὸς ὅ-
περ ἀπαντᾷ, ὃ ἀρίστοτέλης λέγων. ὅτι ἐρωτήσαντες, οἱ σοφισταὶ ἀπὸ τῶν πῶς, συ-
νάγουσιν ἀπὸ τοῦ οἷον, ἤγουν τὴν ἐρώτησιν ποιήσαντες ἀπὸ τοσοῦ, συνάγουσιν ἀπὸ
τοῦ τοιοῦ. τὸ γὰρ ἐρωτηθῆναι. ἆρ' ὃ μανθάνει, καὶ τὰ λοιπὰ ἀπὸ τοῦ τρόπου ποιή-
σαντες. δηλοῦσι γὰρ τὸ ὡς μανθάνει, οὕτω μανθάνει ταχέως, ἢ ἄλλως πῶς, καὶ
οὐ τὸ πρᾶγμα συνάγουσιν ἀπὸ τοιοῦ τὴν ἐρώτησιν. οὐδ' ὅταν τὴν κύλικα πί-
νῃ, ὃ πίνῃ. ἀλλ' ἐξ οὗ. ἔστιν ἆρ' ὅ τις οἶδε. τὸ σόφισμα τοιοῦτον, ἆρ' ὃ πίνει τίς,
τοῦτο πίνει. ἢ οὕτως ἆρ' ὃ πέπωκέ τις, ἐκεῖνο πέπωκε; ναί. πέπωκε δὲ κύλικα, πέ-
πωκεν ἄρα τὴν κύλικα. ἡ λύσις, ὅτι οὐ τὴν κύλικα πέπωκεν. ἀλλ' ὃ πέπωκεν, ἢ ὃ
πίνει, ἐκ τῆς κύλικός ἐστι. τοιοῦτον δὲ καὶ τὸ, ἆρ' ὅ τις οἶδεν, ἢ μαθὼν, ἢ εὑρὼν,
οἶδε; ναί. ὅδε τὸ μὲν ἔμαθεν, τὸ δὲ εὗρε. ἀμφότερα δὲ οὔτε ἔμαθεν, οὔτε εὗρεν. οὐκ
ἄρα οἶδεν. εἰ γὰρ οἶδεν, ἢ ὃ ἔμαθεν, ἢ ὃ εὗρεν. τὰ δὲ δύο οὐκ ἔμαθε. τὸ ἓν γὰρ ἔμα-
θεν, οὐχὶ τὰ δύο. ἀλλ' οὐδὲ τὰ δύο εὗρε. τὸ γὰρ ἓν εὗρεν. εἰ οὖν μήτε εὗρε. μήτε ἔ-
μαθε τὰ δύο, οὐδὲν οἶδεν. ἀλλὰ καὶ οἶδε, τὴν δὲ λύσιν τοῦ σοφίσματος ἐνέφηνε,
διὰ τῶν, ἢ ὃ μὲν ἅπαν, τὸ δὲ οὐχ ἅπαν. ἔστι δὲ ὃ λέγει, ὅτι τὸ μὲν πᾶν, ἤγουν οἷον καὶ
ποιὸν, τὸ δὲ, οὐ ποιὸν, ἀλλὰ ποσόν. τὸ γὰρ ὧν, τὸ μὲν, τὸ δ' οὐ τὸ, ποσά. ἐρωτήσας
οὖν ἀπὸ τῶν ὃ, συνάγει ὅτα. ἔτι ἐστὶ καὶ ἄλλως εἰπεῖν τὸ, ἢ ὃ μὲν ἅπαν, τὸ δ' οὐχ ἅ-
παν. τουτέστιν ὅτι δυνατόν ἐστιν ἀπὸ μέντινος μαθήματος, ἅπαν εἰπεῖν, οἷον ὅτι
καὶ εὗρον ἐγὼ, καὶ ἔμαθον παρ' ἄλλου. ἀπὸ δέ τινων οὐχ ἅπαν. ἀλλ' ἢ τὸ εὑρεῖν
μόνον, ἢ τὸ μαθεῖν παρ' ἄλλου. καὶ ὅτι ἐστί τις τρίτος ἄνθρωπος παρ' αὐτόν.
ὁ λεγόμενος ὑπὸ τῶν σοφιστῶν λόγος, καὶ τὸν τρίτον ἄνθρωπον εἰσάγων, τοιοῦ-
τος, οἷον λέγοντές φασιν ἄνθρωπος περιπατεῖ, οὔτε τὴν ἰδέαν ἄνθρωπον περιπα-
τεῖν λέγομεν. ἀκίνητος γὰρ ἐκείνη. οὔτε τῶν καθ' ἕκαστόν τινα. πῶς γὰρ ὃν μὴ γνωρί-
ζομεν. τὸ μὲν γὰρ ἄνθρωπον περιπατεῖν γνωρίζομεν, τίς δὲ τῶν καθ' ἕκαστά ἐστιν,
ἐφ' ὧ λέγομεν, οὐ γνωρίζομεν, ἄλλον ἄρα τινὰ παρὰ τούτους, τρίτον ἄνθρωπον
λέγομεν περιπατεῖν. τρίτος ἄρα ἄνθρωπος ἔσται, οὗ τὸ περιπατεῖ κατηγροῦ-
μεν. ἡ λύσις ὅτι, ὁ ἄνθρωπος καὶ πᾶν τὸ κοινὸν οὐτόδε σημαίνει, ἀλλὰ τοιόνδε. ὁ-
μοίωμα γάρ ἐστι τῶν καθ' ἕκαστα. πῶς οὖν δῆτα αὐτὸ τοῦτο τὸ ἐν τῷ καθ' ἕκαστα
θεωρούμενον, καὶ ἐν τούτοις ἔχον τὴν ὕπαρξιν, οὐσία τίς ἔσται, καὶ ἕτερον παρὰ ταῦ-
τα. οὐκ ἄρα τρίτος ἄνθρωπός ἐστι. τὸ δὲ ὁμοίως δὲ καὶ ἀπὸ τοῦ κορίσκος, καὶ κορί-
σκος μουσικὸς, πρὸς κατασκευὴν τοῦ μὴ εἶναι τρίτον ἄνθρωπον εἴληπται, καὶ
οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν. ὥς περ γὰρ ὁ μουσικὸς κορίσκος ἕτερος ὢν τοῦ κορί-
σκου, οὐκ ἔστι καθ' αὑτὸν, οὐδὲ ὕπαρξιν ἔχει ἰδίαν. τοῦτο γὰρ σημαίνει τὸ, ὥς τε

οὐκ ἔστιν αὐτὸ ἐκθέσθαι. διότι οὐκ ἔστι τόδέ τι καὶ οὐσία, ἀλλὰ τοιόνδε καὶ ποιόν.
οὕτως οὐδ' ἄνθρωπος περιπατεῖ. κἂν ἕτερός ἐστι σωκράτης πλάτωνος καὶ τῶν κα-
τὰ μέρος, ὡς ὁ μουσικὸς κορίσκος τῶν κορίσκου καθ' αὑτὸν ἔσται. ἵνα δὲ μήτις ἴ-
σως ὑπολάβη, ὅτι καὶ τῶν τρίτου ἀνθρώπου παρεισάγεται ὕπαρξις, ἐκ τῶν λέγον-
τας ἄνθρωπον περιπατεῖν ἀποδεικνύναι ἕτερον αὐτὸν εἶναι τῶν μερικῶν σωκρά-
τους πλάτωνος καὶ τῶν ἄλλων τῶν καθ' ἕκαστα, φησὶν οὐτὸ ἐκτίθεσθαι δὲ ποιεῖ
τὸν τρίτον ἄνθρωπον, δυνάμει τοῦτο διὰ τούτων λέγων, οὐ τὸ ἀπαριθμεῖσθαι
τοὺς καθ' ἕκαστα ἀνθρώποις, καὶ ἕτερον ἐκείνων λέγειν. τὸν τρίτον ἄνθρωπον ποιεῖ,
ἀλλὰ τὸ διδόναι, καὶ συγχωρεῖν εἶναι ὅπερ τόδέ τι τουτέστιν, ἀλλὰ τὸ, οὐσίαν καὶ
τόδέ τι λέγειν οὕτω. τῶδε τόδέ τι, ἔθος αὐτῷ ἀπὸ τῆς ἀτόμου χρῆσθαι οὐσίας.
κατασκευάζει δὲ καὶ αὐτὸ τοῦτο τὸ μὴ εἶναι τὸ κατηγρούμενον καὶ κοινὸν οὐ-
σίαν, διοῦ ἀπὸ φέρει τὸ. οὐ γὰρ ἔσται τόδέ τι εἶναι ὅπερ καλλιᾶς, καὶ ὅπερ ἄν-
θρωπός ἐστι, δηλονότι, οὐ γὰρ εἰ ἐστὶν, ὃ καλλίας τόδέ τι, καὶ ἄνθρωπος τόδέ τι
ἔσται. τὸ δὲ οὐδ' εἴ τις τὸ ἐκτιθέμενον ὅπερ τόδέ τι εἶναι λέγει, ταυτόν ἐστι τῷ, εἰ
γὰρ καὶ μή ἐστι τὸ ἐκτιθέμενον, καὶ κοινὸν τόδέ τι καὶ οὐσίαν ἀλλὰ καὶ ποιόν.
ἀλλ' οὖν ἕτερόν ἐστι τῶν καθ' ἕκαστα. ἐν αὐτοῖς δὲ ὅμως ὂν καὶ οὐ καθ' αὑτό. ὥς τε
φησὶν οὐδὲ τέον ἕτερόν τινα τρίτον εἶναι ἄνθρωπον. τὸ γὰρ κοινῶς κατηγρούμε-
νον ἀπὸ πᾶσιν οὐκ ἔστιν οὐσία, ἀλλὰ ποιόν τι. πάλιν εἰ περὶ προσωδίαν ὀξεῖαν.
εἰπὼν ὅτι ἀνεὶ ἀπὸ τῶν σοφισμάτων κατὰ τὸ ἀντικείμενον ἡ λύσις προβαίνειν
ὀφείλει. οἷον εἰ συνθέσει ἠπάτησε, σὺ, διελὼν οὐκ ἐκφεύξῃ τὴν ἀπάτην. καὶ τὸ
ἀνάπαλιν. καὶ ἀπὸ τῶν ἄλλων τῶν περὶ τὴν λέξιν καθολικῶς πῶς δεῖ τὰς λύσεις
ποιεῖσθαι διδάσκει, καὶ φησὶν. ὡς εἰ περὶ προσωδίαν ὀξεῖαν ἡ ἀπάτη, ἡ βαρεῖα
προσωδία λύσις. οἷόν ἐστι τὸ, οὗ κατα πύθεται ὄμβρω. εἰ ἐκεῖνος ὀξεῖαν θεὶς προ-
σωδίαν ἠπάτησε, σὺ λέγει περισπομένως. βαρεῖαν γὰρ προσωδίαν πανταχοῦ τὴν
περισπωμένην λέγει. ὁμοίως καὶ ἐν τῇ ὁμωνυμίᾳ εἰ ἀπατᾷ ὁ σοφιστὴς, σὺ τὸ ἀντι-
κείμενον ὄνομα λέγων ἐνίστασο πρὸς τὸ σόφισμα. οἷον τί φημι. εἰ ἐκ τῆς ὁμωνυ-
μίας τὸ ἄψυχον ἔμψυχον συνελογίσαντο, λυτέον ἀποφήσαντας εἰπόντας μὴ τόδε
δεδωκέναι, ὃ σημαίνει τὸ ἄψυχον, ἀλλ' ὃ δηλοῖ τὸ ἔμψυχον. εἰ γὰρ ἔρροιτο. ἆρα γε
τὸ διδάσκον ἔμψυχόν ἐστιν, εἴποις δὲ, ναί. εἶτα εἴποι, τὸ δὲ βιβλίον διδάσκει,
ἔμψυχον ἄρα τὸ βιβλίον. ῥητέον δὲ ὅτι οὐ τὸ ἄψυχον διδάσκειν εἶπον, ἀλλὰ
τὸν διδάσκαλον. ὁμοίως ποιητέον καὶ ἀπὸ τοῦ ἀνάπαλιν. εἰ γὰρ ἔρροιτο. ἆρα γε
τὸ διδάσκον ἔμψυχόν ἐστιν, εἴποις δὲ οὐ. εἶτα εἴποι, ὅδε πλάτων διδάσκει, ἔμ-
ψυχον ἄρα τὸ διδάσκον. εἰπὲ ὡς ἀπὸ τοῦ βιβλίου τὸ διδάσκεις εἶπον. καὶ ἀπὸ
τῶν περὶ τὸ σχῆμα τῆς λέξεως ὡς προειρήκαμεν, ὡσαύτως ποιητέον. οἷον ὁ σο-
φιστὴς μὴ συμπεραινόμενος λέγει. ἆρ' ὃ μὴ ἔχει δοίη ἄντις. σὺ δὲ πρὸς τοῦτον
λύων τὸ σόφισμα εἰπὲ, οὐχ ὃ μὴ ἔχει, ἀλλ' ὡς οὐκ ἔχει. ἀντίκειται γὰρ, ὡς ἐν
τοῖς προλαβοῦσιν εἴρηται, τὸ ὃ μὴ ἔχει τῷ ὡς οὐκ ἔχει, διὰ δὲ τοῦ, ἀλλ' οὐχ ἃ
ἐπίσταται, τὸ λέγομενον δυνάμει ἐστὶν, ὅτι οὕτω λύειν δεῖ. ὅτι ὃ ἐπίσταται

μεμαθηκεν, ἢ δύρεν. ἀλλ' οὐχ ἅ ἐπίσταται μεμαθηκε. τοῦτο γὰρ καὶ ἐρωτηθὲν
οὐ γὰρ εἴ τε, ὁ ὁρῶντων ἅ τις ἐπίσταται μεμαθηκεν ἢ δύρεν, ἀλλὰ ἐνίκησ, ὅτις
ἐπίσταται μεμαθηκεν ἢ δύρεν. πρὸς δὲ τοὺς πρὸ τὸ συμβεβηκός, μία μὲν καὶ
ἡ αὐτὴ λύσις πρὸς ἅπαντας. μεταβαίνει καὶ ἐπὶ τοὺς πρὸ τὸ συμβεβηκὸς γινο
μένους παραλογισμοὺς, καὶ πῶς δεῖ, καὶ τούτους λύειν διδάσκει, καὶ φησὶ τὸ
πρὸ τὸ συμβεβηκὸς παραλογισμῶν μίαν, καὶ τὴν αὐτὴν ἅπαν λύσιν. ἐντοῦ
θεν ἐπαινῶ μὲν τοὺς λύσιν τινὰ τοῖς τοιούτοις σοφίσμασιν ἐπαγόντας, μὴ μέν
τοι γε ἐν πᾶσιν ἀποσῳζούσαις, καὶ πάντων τῶν πρὸ τὸ συμβεβηκὸς λυτικὴν οὖ
σαν. ἐπεὶ γὰρ φησὶν ἀδιόριστον εἶναι τὸ πότε λεκτέον ἐπὶ τοῦ πράγματος. ὃ λέγει
τοιοῦτόν ἐστιν. ἅπαντα τὰ τῷ συμβεβηκότι ὑπάρχοντα ἀληθεύοντα, καὶ ἐπὶ τοῦ
ὑποκειμένου τῷ συμβεβηκότι, φημὶ δὲ τῷ πράγματι. τινὰ δὲ τὸ μὲν συμβεβη
κότι ὑπάρχει, τῷ δὲ πράγματι οὐχ ὑπάρχει. τὸ γὰρ δυσύλλαβον λέγεται
μὲν καὶ κατὰ τοῦ λθυκοῦ, ἀληθεύεται δὲ καὶ κατὰ τοῦ ἵππου τοῦ τινος, ᾧ συμβέ
βηκε τὸ λθυκὸν. ὡς τε ἐπὶ τούτου ἀληθὲς εἰπεῖν τάδε τὰς προτάσεις. ἆρά γε
ὅδε ὁ ἵππος; ναί, ἆρά γε λθυκὸς, ναί, ὅδε ἄρα λθυκὸς. τί δὲ τὸ λθυκὸν δυσύλλα
βον; ναί, ὁ ἵππος ἄρα δυσύλλαβος. ἐπὶ μὲν τούτου ἀληθὲς τὸ κατὰ τοῦ συμβε
βηκότος. οἷον τὸ δυσύλλαβον τὸ κατὰ τοῦ λθυκοῦ λεγόμενον, καὶ κατὰ τοῦ
ἵππου ῥηθήσεται. ἐπὶ δὲ τοῦ σωκράτους οὐκ ἀληθῶς. οὐ γὰρ εἰς ὃ σωκράτης λθυ
κὸς, τοῦτο δὲ δισύλλαβον, καὶ ὁ σωκράτης δισύλλαβον. ἐπεὶ δὲ οὖν ταῦθ' οὕ
τως ἔχει, οὐδὲν δὲ διώρισται πρότερον δεῖ λέγειν, ὅτι τὰ ὑπάρχοντα τῷ συμβε
βηκότι, ὑπάρξει καὶ τῷ πράγματι, τουτέστι καὶ τῷ ὑποκειμένῳ, ποτὲ δὲ οὐ. ἐπι
τέον πρὸς ἅπαντας, ὅτι οὐκ ἀνάγκη τὸ τῷ συμβεβηκότι ὑπάρχον, καὶ τῷ
πράγματι ὑπάρχειν. ἀλλ' ἐπὶ τινων μὲν ἐνδέχεται ἐπί τινων δὲ, οὐ. καὶ ἔτι δεῖ
προφορεῖν καὶ τὸ οἷον, ἥγουν τὸ ὁρῖον. ὡς πρὸ ἐν τῷ μίνῳ τῷ πατρῶνος γέγρα
πται. ἔχει δὲ οὕτω τὰ ἐκείσε. ὁ νόμος ἡμῖν πέφυν ὁρῖον, καὶ ὁρῶν τῶν νόμων.
τὰ δὲ ἐπαγόμενα σοφίσματα τοιαῦτά εἰσιν. ἆρ' οἶδας ὃ μέλλωσθ ὁρῶντα; οὐ.
ἆρ' οἶδας ὅτι ἡ ἀρετὴ ἀγαθόν; ναί. τοῦτο δέσθ μέλλωσθ ὁρῶντα. οἶδας ἄρα ὃ μέλ
λωσθ ὁρῶντα. ἡ λύσις, ὅτι ποὺ ταυτόν ἐστι τὸ τὴν ἀρετὴν ἀγαθὸν εἶναι, καὶ τὸ μέλ
λειν ὁρῶντα θαι εἰ ἔστιν ἀγαθόν. ἀλλὰ ἀγαθῶ οὔσῃ συμβέβηκεν αὐτῇ, τὸ μέλ
λειν ὁρῶντα θαι, εἰ ἔστιν ἀγαθόν. πάλιν ἆρ' οἶδας τὸν πρόσοπα καὶ κεκαλυμ
μένον; οὐ. εἶπα ἀφελόντες τὸ πρὸ καλυμμα. πῶς δὲ οἶδας τοῦτον; ναί. τὸν αὐ
τὸν ἄρα οἶδας καὶ οὐκ οἶδας. πάλιν ἆράγε ὁ ἀνδριὰς ὄργόν ἐστι; ναί. ἆράγε
σός ἐστι; ναί. σὸν ἄρα ὄργόν ἐστιν ὁ ἀνδριάς. ἀλλὰ μήν καὶ οὐκ ἔστι, τοῦ φειδίου γάρ
ἐστι. πάλιν ἆράγε κύων πατήρ ἐστι; ναί ἆράγε σός ἐστι. ναί. σὸς ἄρα κύων πα
τήρ. πάλιν ἆράγε τὰ ὀλιγάκις ὀλίγα, ὀλίγα; ναί. ἀλλὰ μήν τὰ ἑκατὸν πρὸς
τὰ δεκάκις μύρια ὀλιγάκις ἐστὶν ὀλίγα, τὰ ἑκατὸν ἄρα ὀλίγα. ἀλλὰ μήν καὶ
πολλά. φανερὸν οὖν, ὡς πάντες οὗτοι οἱ παραλογισμοὶ πρὸ τὸ συμβεβηκὸς

λύονται. μόνοις γὰρ φησὶ τοῖς κατὰ τὴν οὐσίαν διαφόροις ταυτὰ ὑπάρχειν οἷον
κατὰ τὴν οὐσίαν διάφορον ὁ ἵππος καὶ ὁ βοῦς. τούτοις γοῦν ταυτὰ ἐπίσης ὑπ
άρξει. λύουσι μὲν οὖν τινες ταῦτα τὰ σοφίσματα καὶ ἕτερος. αἱρετέον δὲ
τὴν λύσιν ταύτην ὁ ἀριστοτέλης διὰ τὸ μηδὲν ἀφ' ὧν εἰρήκαμεν, πάντων τὸ πρὸ
ταυτὰ γινομένων παραλογισμῶν ἄναν ταύτην λυτικήν. καίτοι πρῶτον μὲν, κα
βάπερ ἤδη εἴπομεν, ἐλυόν τινες τὸ πρὸ τὸ συμβεβηκὸς σόφισμα, οὕτω λέγον
τες, ὡς οὐδὲν ἄτοπον, εἰ τὸν κορίσκον οἶδα μὲν καὶ οὐκ οἶδα μὲν. κατ' ἄλλο γὰρ
οἶδα μέν, καὶ κατ' ἄλλο ἀγνοοῦμεν. ἀπὸ οὐ κατὰ ταυτὸ, ταυτὴν τὴν δόκου
σαν λύσιν αἱρεῖ ὁ παγειρίτης, φησὶ τῶν πρὸ ταυτὸ λόγων τὴν αὐτὴν ἄναν
δεῖν τὴν λύσιν. ὡς πάντ' ἤδη εἰρήκαμεν. πρὸ τὸ αὐτὸ δὲ λόγοι εἰσὶ πάντες οἱ πρὸ
τὴν ἀμφιβολίαν. ὁμοίως δὲ καὶ πάντες οἱ πρὸ τὴν σύνθεσιν. οἱ δὲ πρὸ τὴν ἀμφι
βολίαν οὐ πρὸ τὸ αὐτὸ, τοῖς πρὸ τὴν σύνθεσιν, ἀλλὰ πρὸ ἄλλο. λέγει οὖν δ' ἡ ὅ
τι, εἰ καλῶς ἔχει ἡ τῶν οὕτω λυόντων τὰ πρὸ τὸ συμβεβηκὸς σοφίσματα λύ
σις, ἁρμόσοι ἂν αὐτὴ εἰς πάντας τοὺς πρὸ τὸ συμβεβηκός. ἀλλὰ μὴν ἐπί τινων
οὐχ ἁρμόζει. οὐκ ἄρα καλῶς λύουσι. τῶν γὰρ πρὸ τὸ αὐτὸ ἀπτόν δεῖ τὴν αὐτὴν
ἄναν λύσιν. ὡς δ' οὐκ ἔστι λύσις τῶν τοιούτων σοφισμάτων, ἡ πρὸ αὐτῶν ἀπο
δοθήσεται, ἐπάγει. αὐ ἀφελωμὲν γὰρ φησι ἀπὸ τοῦ σοφίσματος τὸ εἰδέναι, ὡς
λέγειν ἆρ' οἶδας, αὐτεισαγάγωμεν δὲ τὸ ἐστὶν ὡς μὴ λέγειν, ἆρ' οἶδος τόνδε τὸν
κεκαλυμμένον, καὶ ἆρ' οἶδας τὸν προσόντα. ἀπὸ ὅτι ἆρ' οὗτός ἐστιν, οὐκ αὖ πάν
αὐτοὶ λέγουσι λύσιν, ἐφαρμόσει ἐπ' αὐτοῦ. ἀξίωμα δὲ λέγει τὴν πρότασιν. τὸ δὲ
σόφισμα οὕτως ἐρωτᾶτο. ἔστω δὲ λόγου χάριν. ἆρα γλαύκωνος τοῦ πατρώνος
ἀδελφοῦ, ὅς τις δὴ γλαύκωνος οὐ μόνου ἀδελφὸς ἦν πατρώνος, ἀλλὰ καὶ πα
τρὸς ἦν γὰρ πατρώνας. αὖ δὴ ὁ ὁρῶντων ἦν ὁ πατρῶν, δοθέντων γὰρ καὶ τοῦτον
ἄναν τὸν ὁρῶντων ὁμοῦν, οὕτως αὐτὸν ἤρετο ὁ ὁρίζων, ἆρά γε ᾧ πλάτων ὁ γλαύ
κος σός ἐστι; ναί. ἆρά γε ὁ γλαύκων πατήρ ἐστι; ναί. ὁ γλαύκων ἆρα ᾧ πατρῶν
σός ἐστι πατήρ. ἐπὶ δὴ τούτου τοῦ σοφίσματος, πῶς αὖ ἔχοι χώραν, ἢν αὐτοὶ
λύσιν λέγουσιν. ὅτι τοῦτον μὲν οἶδα, τὸν δὲ οὐκ οἶδα. οἶδε γὰρ ἀμφότερον, ὅ
πατρῶν, καὶ ὅτι πάλιν ἐστὶν ὁ γλαύκων, καὶ ὅτι ᾧ τὸ πατρῶνος δηλονότι ἐστί. πῶ
ὡς τοὺς μὴ ὑπὸ τινων λεγομένην λύσις ἁρμόσοι αὖ εἰς πάντας τοὺς πρὸ τὸ συμβε
βηκός. ἐπεὶ γὰρ καὶ ἐπί τινων ἀληθές ἐστι τὸ λέγειν, ὅτι τὸν αὐτὸν οἶδα, καὶ ἀγνοῶ.
κατ' ἄλλο καὶ ἄλλο. ἀπὸ ὧδε τοῦτο λέγεται οὐκ ἐγχωρεῖ. πολλαὶ δ' εἰσὶν αἱ κακίαι
τοῦ συλλογισμοῦ, πλὴν οὐχ ἡ τῆς ἰσχούσης κακίας ἐμφανίσας, καὶ τὸ πραγμα
τός ἐστι λύσις, ὅπερ μάκρον ὁ πάσῃ θρεπτέον ἀπὸ καὶ ἐπὶ τοῦ φθόνος, ὡς πάντα τὸ δὲ
ὁ σωκράτης καθῆται. ὁ καθήμενος γραφεῖ, ὁ σωκράτης ἆρα γραφεῖ. τοῦτο φθό
νος ἐνταῦθα οὐχὶ εἴτις ὁρᾷ, ὅτι διὰ τὸ ὑπολαμβάνεσθαι τὸν σωκράτην καθῆσθαι, τὸ
φθόνος πλὴν ἔχει, κἂν εἰ τύχη φθόνος ὂν τὸ τὸν σωκράτην καθῆσθαι. ἀπὸ διὰ τὸ
τὸν καθήμενον γραφεῖν. οὐκ ἀρκεῖ οὕτω πρὸς λύσιν τὸ δεῖξαι, ὅτι φθόνος ἐστὶ τὸ
πῶς ἀφεῖν. ἀλλὰ χρὴ καὶ τὸν τρόπον εἰπεῖν, καὶ τὸ αἴτιον, παρὸ τὸ φθόνος γέ

γονεν. εἰ γὰρ ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν συμπεραίνεται τις τὸ
τὸν ἄνθρωπον ἵππον εἶναι, οὐκ ἀρκεῖ τὸ δεῖξαι τοῦτο ψεῦδος, ἀλλὰ καὶ τὸ ἀντίον
εἰπεῖν· ὅτι τὸ ψεῦδος συνήχθη· διὰ τὸ τοῦ σχήματος ἀσυλλόγιστον· τίθησι δὲ καὶ αὐ
τὸς πρὸς τὸ λεγόμενον, παράδειγμα. ἔστι δὲ τὸ διὰ τοῦτο λεγόμενον τοιοῦτον.
ἔλεγεν ὁ ζήνων μὴ εἶναι κίνησιν· εἴτις οὖν φησὶ ἀνιχειροῖ συνάγειν τε καὶ δεικνύ
ναι τὸν ζήνωνος λόγον τὸν ἀναιροῦντα τὴν κίνησιν, ἐκ τοῦ συνάγειν ἀδύνατόν τι,
τεθείσης τῆς τοῦ ζήνωνος ὑποθέσεως ἁμαρτάνει· οὐδὲ γὰρ λέλυκε τὸ παραλογι
σμόν· εἰ γὰρ λέγει ἐγὼ μὲν ὦ ζήνων εἶναι κίνησιν φημί· εἰ δὲ ψεῦδος τοῦτο, ἀληθὲς
δὲ ὁ σὺ φὴς τὸ μὴ εἶναι κίνησιν, ἔστω τοῦτο, καὶ κείσθω ὅτι οὐκ ἔστι κίνησις, οὐδὲ
τὸ κινεῖσθαι· ἀλλ' εἰ μή ἐστι τοῦτο, οὐδὲ τὸ πόθεν ποιῇ κινεῖσθαι ἔσται· εἰ δὲ τοῦτο, οὐ
δὲ ὁ ἥλιος ἀπὸ ἀνατολῆς εἰς δύσιν κινηθήσεται, οὐδὲ ἀπὸ δύσεως εἰς ἀνατολήν· εἰ
δὲ μὴ τοῦτο, οὐδὲ ἡμέραι καὶ νύκτες ἔσονται, ὅπερ ἀδύνατον· εἰ δὲ τοῦτο ἀδύνα
τον, ψευδὴς καὶ ἡ σὴ ὑπόθεσις, ἢ τὸ ἀδύνατος ἠκολούθησε· ὁ ταῦτα συλλογιζό
μενος κἂν εἰ μυριάκις ἢ συλλογιστικῶς, καὶ ἀληθῶς συμπεραινόμενος, καὶ συνά
γων ὡς ἀδύνατον μὴ εἶναι κίνησιν, ἐκ τοῦ συνελαύνειν τὴν ζήνωνος ὑπόθεσιν εἰς τὸ
ἀδύνατον, οὐ λέλυκε τὸ σόφισμα τὸ τοῦ ζήνωνος, ἀεὶ ὁ λέγων ὅτι ἐνεργεία τὰ ἄ
πειρα λαμβάνεις, καὶ ὅσα ἄλλα αὐτὸς ὁ ἀριστοτέλης ἐν τῷ ζ. τῆς φησι κῆς ἀ
κροάσεως εἴρηκεν· καὶ ἡμεῖς ταῦτα ἐξηγούμενοι, τεθεωρήκαμεν. εἰ οὖν μὴ
συλλελόγισθαι εἰ καὶ ἀληθές· ὃ λέγει διὰ τῶν εἰρημένων τοῦτο ἔστι· κἂν ἀληθές
φησι, κἂν ψεῦδος, ἢ τὸ ἐξ ἀσυλλογίστου τρόπου συναχθέν, ἡ τούτου ἐμφανίσις ἐ
στι λύσις. οὐ συλλογίζεται δὲ καὶ ὁ ἐκ δύο μερικῶν συνάγων τί, καὶ ἐκ δύο κα
ταφάσεων ἐν β. σχήματι. καὶ ὁ χρώμενος ὁμωνύμοις, καὶ ἀμφίβολα λαμβά
νων, καὶ εἴ τι τοιοῦτον· ὥς τε ὁ περὶ τί τούτων δείξας τὸν παραλογισμὸν γεγονέ
ναι, ἐκεῖνος λύει· ἴσως δέ φησι ἐπί τινων οὐδὲν κωλύει λύειν τὸν λόγον διὰ τοῦ δει
κνύναι ἀδύνατόν τι ἑπόμενον, ἀεὶ ἐπί γε τοῦ παρόντος, οὐκ ἀπόχρη τοῦτο· ἢ μάλιστα
τοῦτο λέγει. ὅτι ἐπί τινων μὲν οὐδὲν κωλύει λέγειν τὸ αὐτὸ εἰδέναι καὶ μὴ εἰδέ
ναι· κατ' ἄλλο μέν τοι καὶ ἄλλο· ἀλλὰ δὲ τοῦ προσιόντος κορίσκου, οὐκ ἀρκεῖ τοῦτο·
οἱ δὲ γὰρ ὁ ἀποκρινόμενος καὶ τὸ προσιὸν ὅτι προσέρχεται, καὶ τὸν κορίσκον
ὅτι κορίσκος· ἀεὶ καὶ οἱ λύοντες τὸ σόφισμα, τὸ ὅτι τὰ ἑκατὸν καὶ πολλὰ καὶ
ὀλίγα συμπεραινόμενον λέγοντες, ὅτι πᾶς ἀριθμὸς καὶ πολὺς καὶ ὀλίγος· ὁμοίως
τούτοις ἁμαρτάνουσιν, οὓς εἴπομεν ἁμαρτάνειν ἐν τῷ εἰς τὸ ἀδύνατον ἀπάγειν,
ἢ τὴν τυχοῦσαν λύσιν ἐπάγοντας, καὶ μὴ παρὸν τὸ ψεῦδός ἐστι, καὶ εἴη ἂν λεῖ
πον τῷ, ὥς περ οὓς εἴπομεν, τὸ ἡμάρτανον· ὡς καὶ ἐκεῖνοι ἡμάρτανον, οὕτω καὶ
οὗτοι· τίς δέ φησιν ἡ ἁμαρτία· ἀφέντες γὰρ φησὶν λέγειν πρὸς τὸν ἐρεθίζοντα,
ὅτι οὐ συμπεραίνω, ἐφιᾶσι μὲν τοῦτο λέγειν· φασὶ δὲ αὐτὸν συμπεπεραίνθαι, καὶ πάν
τα ἀριθμὸν, καὶ πολὺν, καὶ ὀλίγον λέγουσιν· εἰ γοῦν οὕτω ποιοῦσι πῶς οὐχ ἁμαρτά
νουσιν· ἴσον δέ ἐστι τὸ λεγόμενον τῷ, εἰ γὰρ παραλιπόντες λέγειν πρὸς τὸν ἐρίζον
τα, ὅτι οὐ συμπεραίνω τὴν ἀντίφασιν τῆς θέσεως, εἰ τοῦτο γοῦν παραλιπόντες

λέγουσιν ὅτι ἀληθὲς ἐστὶν ὃ συμπεραίνω, καὶ οὐδὲν ἀδύνατον· πᾶς γὰρ ἀριθμὸς, καὶ
πολὺς, καὶ ὀλίγος ἐστὶν, ἁμαρτάνουσιν· ἔνιοι δὲ καὶ τῷ διττῷ λύουσι τὸν συλ
λογισμὸν, πρὸ τῆς τῶν ῥητῶν σαφηνείας δεῖ τοῦτο προειπεῖν, ὅτι τὰ σοφίσμα
τα ταῦτα, ἃ νῦν ἐκτίθησι πρὸς τοὺς εἰδότας ἐλέγοντο· τὸ δὲ οὗτος τούτου δοῦ
λός ἐστι, συνεπεραίνον οὕτως, ἆρά γε οὗτος, τέκνον ἐστὶ; ναί· ἆρά γε οὗτος τούτου
ἐστὶ, ναί· οὗτος ἄρα τούτου τέκνον ἐστίν· ἀεὶ καὶ δοῦλος· εἰ γὰρ μὴ εἰδὼς ἐτύγ
χανεν ὁ ἀποκρινόμενος, ὅτι οὗτος δοῦλός ἐστι γλαύκωνος, ἀεὶ οὐ τέκνον· ἐκεῖνος
δὲ ἠρώτα· ἆρά γε οὗτος τέκνον ἐστὶν; ναί· ἆρά γε οὗτος γλαύκωνός ἐστι; ναί· οὗτος
ἄρα τέκνον γλαύκωνός ἐστιν, ἀεὶ καὶ δοῦλος, ὃ ταυτόν ἐστι τῷ, οὐ τέκνον· εἰ οὖν
μὴ εἴδει ταῦτα ὁ ἀποκρινόμενος, εἶχεν ἂν λέγειν πρὸς τὸν ἐρωτῶντα· πόθεν δῆ
λον ὅτι δοῦλός ἐστι γλαύκωνος, καὶ οὐ τέκνον· ὥς τε πρὸς τὸν εἰδότα τὰς ἐρω
τήσεις ἐποιοῦντο· τούτων οὕτως ἐχόντων, λέγει ὁ ἀριστοτέλης τινὰς λύειν τοὺς
τοιούτους παραλογισμοὺς, τῷ διττῷ· διττὸν λέγων τὴν ὁμωνυμίαν, καὶ ἀμφιβο
λίαν· ἔλεγον γὰρ, ὅτι τὸ ἆρά γε οὗτος τούτου, διττὸν, καὶ ὅτι δοῦλος καὶ τούτου,
καὶ ὅτι τέκνον τούτου· ὁμοίως φησὶ καὶ τὸ, οὗτος τούτου τέκνον, διττόν· καὶ γὰρ ἢ
ὅτι γλαύκωνος τέκνον, ἢ ὅτι τοῦ γενήσαντος αὐτὸν, πρὸς δὴ ταῦτά φησιν ὁ ἀριστο
τέλης μὴ καλῶς λύειν· μὴ γὰρ εἶναι διττὸν, τὸ ἆρά γε οὗτος τούτου· ἢ τὸ ἆρά γε
οὗτος τούτου τέκνον· ἐπειδὴ γὰρ ὡς εἴρηται, πρὸς τὸν εἰδότα, ὅτι οὗτος γλαύ
κωνός ἐστι δοῦλος, ἀεὶ οὐ τέκνον τὴν ἐρώτησιν ἐποιοῦντο, πῶς ἂν εἴη διττὸν πρὸς
αὐτὸν τὸ οὗτος τούτου· ὁ γὰρ δοὺς, τοῦτον τούτου εἶναι, ὡς ἴσον δέδωκε τῷ, τοῦ
τον τούτου δοῦλον εἶναι· ὥς τε οὐ διττὸν πρὸς αὐτὸν, τὸ ἆρα οὗτος τούτου· πάνυ
δὲ ἀνυσίμως διὰ τοῦ κατώτερον τιθεμένου αὐτοῦ εἰς παράδειγμα τοῦ ἔπους, ἐδεί
ξεν ὅτι οὐ περὶ τὸ διττόν ἐστι τὸ σόφισμα· ὥς περ γὰρ ὁ λέγων ὅτι δόσμοι τὸ, μῆ
νιν ἄειδε θεὰ, τὸ ἥμισυ τοῦ ἔπους, ὁ ἀκούσας οὐ τὴν ἰλιάδα ἔπος νοεῖ, οὐδ' ὡς ἥμι
συ ἰλιάδος δίδωσιν, ἀεὶ ὡς ἥμισυ στίχου, οἱ δὲ γὰρ ὡρισμένως, ὅτι ἥμισυ ἔπους ἐστὶ
τὸ μῆνιν ἄειδε θεὰ, ἀεὶ οὐ τῆς ποιήσεως, οὐ γὰρ λέγεται, ἡ ἰλιὰς ἔπος, ἀεὶ ὁ στί
χος· εἰ μὲν γὰρ ἐλέγετο, καὶ ἡ ἰλιὰς, καὶ ὁ στίχος ἔπος· τότε ἦν ἂν διττὸν τὸ, δό
σμοι τὸ ἥμισυ τοῦ ἔπους· ἐπεὶ δὲ οὐ λέγεται ἔπος ἡ ἰλιὰς, ἀεὶ ὁ στίχος, οὐ διττόν·
οὕτως καὶ ἐπ' ἐκείνων· τὸ δὲ οἷον ὅτι σός ἐστι πατὴρ, ἢ υἱὸς, ἴσόν ἐστι τῷ, σὸς ἄ
ρα ὦ γλαύκων οὗτος υἱὸς, καὶ σὸς ὦ δοῦλε ὁ γλαύκων πατήρ· λύει δὲ λέγων,
ὅτι εἰ περὶ τὸ διττὸν ἦν τὸ σόφισμα, ἔχρην τὸ ὄνομα, καὶ τὸν λόγον κυρίως λέγε
σθαι, καθ' ὧν λέγονται· ὁ γὰρ κύων τῶν πολλαχῶς λεγομένων ὢν, κυρίως λέγε
ται, καὶ κατὰ τοῦ χερσαίου, καὶ κατὰ τοῦ ἀστρώου· ὁ δὲ πατὴρ κατὰ τοῦ δούλου,
ἐφ' οὗ καὶ τὸ, σὸς ἐδόθη, οὐ λέγεται κυρίως, ὁ γὰρ εἰπὼν ὅτι ναὶ σὸς, τὸ σὸς ὡς
πρὸς δοῦλον δέδωκεν· οὐ λέγεται δὲ ὁ πατὴρ δούλου πατὴρ, ὥς τε οὐ διτ
τὸς, ὁ λόγος, διὰ τὸ, τὸ διττὸν κυρίως κατὰ πάντων λέγεσθαι, καθ' ὧν λέγεται
τὸ δοῦλος. οὗ ὡς ταυτὸν τὸ σὸς ἐδόθη μὴ λέγεσθαι κυρίως πρὸς τὸν πατέ
ρα· τὴν δὲ λέξιν τὴν τόδε τόνδε εἶναι τοῦδε τέκνον, ὑπερβατῶς ἀναγνωστέον οὕ

τῶς. τὸ δὲ τόνδε τοῦδε οὐδεὶς λέγει κυρίως εἶναι τέκνον. εἰ γὰρ τὸ τέκνον κυρίως πρὸς τὸν δεσπότην ἐλέγετο, τότε ἂν καὶ τὰ δηλοτικὰ τούτων τὰ, τόδε τοῦδε ἦσαν δίττα, σημαίνονται, ὅτι τὸ τέκνον καὶ δεσπότου ἐστὶ τέκνον, καὶ πατρός. καὶ ὁ πατὴρ καὶ δούλου πατὴρ, καὶ υἱοῦ. ἐπεὶ δὲ τὸ τέκνον οὐ λέγεται δεσπότου, ἀνὰ πατρός. οὐδὲ τὸ τῶν τέκνου καὶ πατρὸς δηλωτικὸν, ὅπερ ἐστὶ τὸ, τὸ δὲ τοῦδε, δίττὸν ἔσται. ὁμοίως καὶ ἀπὸ τῶν δούλου καὶ δεσπότου. ὅτι δὲ οὐ λέγεται δίττως δῆλον. οὐδεὶς γὰρ τὸν δοῦλον τούτου τέκνον κυρίως λέγει, εἰ δοῦλον αὐτὸν αὐτοῦ γινώσκει καὶ μὴ τέκνον, καὶ σύνελόντα φάναι, τὸ, τόνδε τοῦδε εἶναι τέκνον, τοῦ*

εἰ γοῦν καί τινες φησὶ περὶ τὴν ὁμωνυμίαν, ἢ τὴν ἀμφιβολίαν. ταῦτα γὰρ εἰσι τὰ δίττα λέγουσιν εἶναι τὸ σόφισμα. ἀλλ' οὖν ὡς δὲ δεῖκται περὶ τὸ συμβεβηκός ἐστι. τὸ δὲ ἀπὸ τῆς φρονήσεως σόφισμα τοιοῦτον. ἆρά γε ἐστὶν ἀπιστήμη τῶν κακῶν, ναὶ τὰ γὰρ κακὰ ἀπιστητά, ἀνὰ μὴν ἡ φρόνησις ἀπιστήμη, ἡ φρόνησις ἄρα τῶν κακῶν. ἔστιν ἄρα ἡ φρόνησις κακόν τι. καὶ τοῦτο δὲ λέγει τινὰς τῷ δίττῷ λύειν. τὸ γὰρ τούτων εἶναι, δίττον φασί. πρὸς ἣν λύσιν ἐνιστάμενος ὡς μὴ ἀρκούντως ἔχουσαν, ἐπήγαγε λέγων. τὸ δὲ τοῦτο τούτων εἶναι. οὐ λέγεται πολλαχῶς, ἀνὰ κτῆμα ὡσεὶ ἐλέγετο. ὥσπερ γὰρ τὸ χωρίον τόδε τῶν ἀθηναίων ὄν, οὐ λέγεται πολλαχῶς, ἀνὰ κτῆμα, ἢ δοῦλος, καθάπερ εἴρηται. οὕτως οὐδὲ τὸ τὴν ἀρετὴν εἶναι τῶν κακῶν πολλαχῶς λέγεται. δῆλον γὰρ πᾶσιν, ὅτι οὐ κακόν τί ἐστιν ἡ ἀρετή. οὐδεὶς γὰρ κακὸν αὐτὴν λέγων κυριολεκτεῖ. ἀνὰ οὕτως λέγεται τῶν κακῶν, ὡς ἀπιστήμη τῶν ἀπιστητῶν. περὶ τὸ συμβεβηκὸς ἄρα καὶ τοῦτο. καὶ οὐ περὶ τὸ δίττόν. διότι γὰρ ἡ φρόνησις τούτων ἐστὶν, συμβέβηκε δὲ τούτοις κακὰ εἶναι, διὰ τοῦτο λέγεται ἡ φρόνησις τῶν κακῶν. εἰδ' ἄρα πολλαχῶς. καὶ γὰρ τὸν ἄνθρωπον τῶν ζώων φαμὲν εἶναι. λείπει ἂν τῷ λόγῳ τὸ, οὐ καλῶς λέγει, καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον. εἰδέ τις τὸ, τοῦτο τούτων, ἢ τὸ, οὗτος τούτου, πολλαχῶς λέγεσθαι φησὶ, ὅτι καὶ ὁ λόγος ὁ λέγων τὸν ἄνθρωπον τῶν ζώων, πολλαχῶς λέγεται. εἰ οὖν τοῦτο τίς εἴπει οὐ καλῶς λέγει. καὶ τὴν ἀντίαν τοῦ μὴ καλῶς λέγειν τὸν εἰπόντα τοῦτο γοργῶς τέθεικε. διὰ τοῦ, ἀνὰ οὐ κτῆμα, ὅπερ ἴσον ἐστὶ τῷ, οὐ γὰρ λέγεται κτῆμα. ἐστὶ δὲ καὶ ἡ σύμπασα τῶν λέξεων διάνοια τοιαύτη. εἰ μὲν γὰρ ὁ ἄνος καθ' ἕνα μὲν τρόπον ἐλέγετο τῶν ζώων, διότι ζώων ἐστί. πᾶν γὰρ ζῶον οὐ τῶν μὴ ζώων, ἀνὰ τῶν ζώων. κατ' ἄλλον δὲ πάλιν ἐλέγετο τῶν ζώων, ὥσπερ ὁ πειραιεὺς, μᾶλλον δὲ ἡ τύναιγρα τῶν ἀθηναίων. λέγεται γὰρ ταῦτα τῶν ἀθηναίων, ὡς κτήματα. τότε δὴ τότε. καὶ τὸ, τόδε τοῦδε. ἢ τὸ, τοῦτο τούτων, ἐλέγετο ἂν πολλαχῶς. ἐπεὶ δὲ ὁ ἄνθρωπος τῶν ζώων οὐ λέγεται πολλαχῶς. οὐδεὶς γὰρ ἀκούσας αὐτὸν τῶν ζώων ὡς κτῆμα εἶναι τῶν ζώων ἀκούει, ἀνὰ ὅτι ζῶόν ἐστιν. οὐ γὰρ λέγεται κυρίως ὁ ἄνθρωπος τῶν ζώων ὡς κτῆμα τῶν ζώων. οὐδ' ὁ τοῦτο λέγων, κυριολεκτεῖ. ἐπεὶ οὖν ὁ ἄνθρωπος τῶν ζώων οὐ λέγεται πολλαχῶς, οὐδὲ τὸ, τούτου δηλοτικόν. ἔστι δὲ τὸ τοῦτο τούτων, δίττόν ἐστιν, ὥστε οὐδὲ τὸ σημαντικὸν τῶν δούλου καὶ δεσπότου, ἐστὶ δὲ καὶ αὐτὸ τὸ, τοῦτο τούτου, δίττόν. καὶ εἴρηται πρότερον διατί. τὸ δὲ καὶ ἐάντι

πρὸς τὰ κακὰ λέγηται ὥστινος, ταυτόν ἐστι τῷ. καὶ ἐάντι πρὸς τὰ κακὰ λέγηται κατὰ γενικὴν πτῶσιν καθάπερ ἡ φρόνησις λέγεται τῶν κακῶν, ῥηθήσεται μέν. ἀνὰ οὐχ ὅτι κακή ἐστι τῶν κακῶν, ἀνὰ ὅτι ἀπιστήμη οὖσα τῶν κακῶν. ὁ γὰρ φρόνιμος ἐπίσταται τὰ κακά. ὥστε τὰ σοφίσματα ταῦτα ἁμικρῷ πρότερον εἰρήκαμεν, περὶ τὸ συμβεβηκὸς γέγονεν, ἀνὰ οὐ τῷ δίττῷ. πῆ δὲ καὶ ἁπλῶς αὐτὸ τὸ περὶ συμβεβηκὸς ὠνόμασαν. πῆ γὰρ ὢν ὅδε τοῦδε, οἷον δοῦλος δεσπότου, καὶ ἁπλῶς κατὰ πάντα καθ' ὅσον τὸ, τόδε τοῦδε λέγεσθαι δύναται, ἀπὸ φέρειν ἀξιοῦσιν, καί τοι ἐνδέχεται φησὶ ἴσως ἀγαθὸν εἶναι τὴν τῶν κακῶν ὡς ἡ ἀνδρεία, ἁπλῶς οὖσα ἀγαθὸν, δοκεῖ τισι διὰ τὰ ἐν πολέμοις τραύματα εἶναι κακόν. διὰ τοῦτο γὰρ καὶ αὐτὸ, τὸ, ἴσως προσέθηκεν, ὥστε ὁ λόγος ὁ λέγων ἡ ἀνδρεία τῶν κακῶν, δίττος. ἢ γὰρ ὅτι κακόν τί ἐστιν ἡ ἀνδρεία, ἢ ὅτι ἐπίσταται τὰ κακά. ἀνὰ εἰ καὶ ἐνδέχεταί ποτέ τινα λόγον λέγοντά τι ἀγαθὸν τῶν κακῶν εἶναι τὸ δίττὸν ἔχειν. ὡς ἀπὸ τῆς ἀνδρείας καὶ τῶν πλούτου καὶ ὑγείας, καὶ ἄλλων τινῶν, ἀλλ' οὔτι γε τὸν λέγοντα τὴν φρόνησιν τῶν κακῶν, τὸ δίττὸν ἔχειν φήσαιμεν. καὶ τοῦτο εἰπὼν τίθησι λόγον δοκοῦντα μὲν ἔχειν τὸ δίττὸν, μὴ ὄντα δὲ δίττὸν, ὡς μετ' ὀλίγον ἐρεῖ. εἰσὶ δὲ ὃν ἐπάγει λόγον δοκοῦντα ἔχειν τὸ δίττὸν οὗτος, ἀνὰ εἴτι δοῦλον εἴη ἀγαθὸν μοχθηροῦ. φέρεται δὲ καὶ ἄλλη ἡ γραφὴ ἔχουσα οὕτως. ἀνὰ εἴτι δοῦλον εἴη ἀγαθὸν ὄνομα μαχθηροῦ, ὅδε λέγει τοιοῦτόν ἐστιν. ἐάντις δοῦλος ἀγαθὸς ὢν, ἢ εἰ γάρ τις δοῦλος ὄνομα ἔσχε κεκλῆσθαι ἀγαθὸς τύχοι δουλεύειν μοχθηρῷ. λέγει δέ τις τὸ ἀγαθὸν μοχθηροῦ, δόξειεν ἂν δίττὸς ὁ λόγος εἶναι. ἐπειδὴ γὰρ οἱ πλείους τῶν δούλων μοχθηροὶ λέγονται, φαντασίαν τινὰ ἀποτελεῖ τῶν δίττοῦ. ἢ γὰρ ὅτι ὁ ἀγαθὸς μοχθηρὸς, ἢ ὅτι δοῦλος μοχθηροῦ τοῦτο θεὶς, ἐνίσταται καθάπερ εἶπον μὴ εἶναι δίττὸν τὸν λόγον λέγων. οὐ γὰρ εἰ ἀγαθὸν δοῦλον ὂν λέγεται καὶ μοχθηροῦ, καὶ ἀγαθὸν μοχθηροῦ ῥηθήσεται. τὸ δὲ ἅμα πρόκειται ὡς εἰ ἔλεγεν, οὐ τὰ δύο ὁμοῦ ἀγαθὸν πονηροῦ, ἀνὰ τὰ τρία ἀγαθὸν δοῦλον πονηροῦ, τοῦτο γὰρ τὰ ἠρωτημένα ἀναγκάζει σύνε πινοεῖν. ταῦτα μὲν διὰ τῆς μιᾶς τῶν γραφῶν λέγοιντ' ἄν. διὰ δὲ τῆς ἐχούσης καὶ τὸ ὄνομα προσκείμενον λέγοι ἄν. οὐ γὰρ εἰ τῷ δούλῳ κεῖται ὄνομα ἀγαθὸν, ὡς μὴ καλεῖσθαι νικοκλέα ἢ πλάτωνα ἢ ἱππόνικον, ἢ ἄλλο τοιοῦτον, ἀνὰ ἀγαθόν. ὥσπερ ὀλυμπιονίκης ὠνομάζετο αὐτὸ τοῦτο ἄνος, ἤδη καὶ τὸ ἀγαθὸν μοχθηροῦ δίττόν, οἷον ὅτι τὸ ἀγαθὸν ὄνομα τῶν δούλου πονηρόν ἐστιν, ἢ ὅτι πονηροῦ δεσπότου, ἀλλ' ἁπλοῦν. ὥστε περὶ τὸ συμβεβηκός. οὐ γὰρ εἰ συμβέβηκε τῷ αὐτῷ ἀγαθῷ τε λέγεσθαι καὶ πονηροῦ εἶναι, καὶ τὸ ἀγαθὸν πονηροῦ ἐστιν. ὥσπερ οὐδὲ εἰ ἡ φρόνησις, ἀπιστήμης. τῇ δὲ ἀπιστήμῃ συμβέβηκεν θεωρητικῇ τῶν κακῶν εἶναι, καὶ ἡ φρόνησις τῶν κακῶν ἐστίν. οὐ γὰρ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου τῷ κατηγορουμένῳ ῥηθήσεται. ὥστε οὐκ εἰ συμβέβηκε τῷ δούλῳ ἀγαθῷ λέγεσθαι. τούτῳ δὲ πάλιν πονηροῦ. καὶ τὸ ἀγαθὸν πονηροῦ. ἀλλὰ τὸ ἀγαθὸν δοῦλον πονηροῦ δεσπότου. ἀλλ' οὐδὲ τὸ τὸν ἄνθρωπον φαίναι τῶν ζώων εἶναι, οὐ λέγεται πολλαχῶς. πανύθεις ἀσαφῶς τὰς ἀν-

τίας καθ' ἃς οὐ καλῶς φαίνονται λέγοντες. διττὸν γὰρ τούτου τοῦτο. πάλιν γὰρ ἄν-
τιον ἐκτίθεται καὶ φησί. οὐδὲ γὰρ γὰρ ἀνθρώπου φαίνει τῶν ζώων, οὐ λέγεται πολ-
λαχῶς. ὥσπερ οὐδὲ γὰρ γὰρ ἀγαθὸν δοῦλον προνηροῦ. οὐ γὰρ εἴποτέ τι φησὶ σημαί-
νομεν ἀφελόντες τούτου ἐκεῖνο πολλαχῶς λέγεται. ἔστι δὲ ὃ λέγει. οὐ γὰρ πᾶν
γὰρ καθ' αὑτὸ γὰρ ἀποληφθὲν καὶ ὁρισμένον καὶ γνώριμον ὄν, καὶ τούτου λεγόμενον,
πολλαχῶς λέγεται. οὐ γὰρ εἰ συμβέβηκε τούτῳ σῶ εἶναι καὶ τέκνῳ εἶναι. σόν
ἐστι τέκνον. οὐ γὰρ τὰ τῷ αὐτῷ συμβεβηκότα καὶ ἀνήλοις τὰ αὐτὰ, οὐ γὰρ εἰ ὁ
κορίσκος καὶ μουσικὸς καὶ λευκὸς, καὶ γὰρ μουσικὸν καὶ γὰρ λευκὸν ταυτόν. εἰ μὲν
γὰρ πάντα τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα τοῦ αὐτοῦ τινὸς καὶ ἀλλή-
λοις καὶ τῷ ὑποκειμένῳ ἦν ταυτὰ, τότε ἂν καὶ γὰρ, οὗτος σὸς ἦν διττὸν, καὶ γὰρ,
οὗτος τούτου. οὐδὲν γὰρ διέφερε γὰρ, σὸς ἀπὸ τέκνου ἢ δούλου εἰπεῖν. ἐπειδὴ γὰρ
τεκνὸν καὶ γὰρ δοῦλον κατὰ τοῦ αὐτοῦ λεγόμενα, τὰ αὐτά ἐστιν. ἐπεὶ δὲ οὐ ταυ-
τὰ, ἀλλ' ἕτερα, πῶς οἷόν τε λέγειν, ὅτι πᾶν γὰρ καθ' αὑτὸ ἀποληφθὲν, ὡς τούτου
μόνου δηλωτικὸν, διττόν. εἰ γὰρ τοῦτο ἦν. ἐπειδὴ γὰρ μῆνιν ἄειδε θεὰ ἀφελόντες
ὡρισμένως οἴδαμεν, ὅτε ἥμισυ στίχου ἐστὶ, καὶ οὐ τῆς ἰλιάδος ὁ λέγων, ὅτι δό-
σμοι γὰρ μῆνιν ἄειδε θεά. γὰρ ἥμισυ τοῦ ἔπους, διττὸς ἂν ἦν ἀνὰ μὴν οὐ διττὸς καθ' αὑ-
τὸ ληφθὲν γὰρ μῆνιν ἄειδε θεά. δῆλον γέγονε τινὸς ἐστιν ἥμισυ. ὥστε καὶ ὁ τοῦτο
σημαίνων λόγος, οὐ διττός. εἰ δὲ τοῦτο, οὐδὲ ὁ λέγων ἄρα ὁ δὲ σὸς, διττός. δῆλον
γὰρ ἐστιν ὅπως οὗτος τούτου ἐστίν. ὥστε οὐ λέγεται πολλαχῶς γὰρ τούτου τοῦτο.
ὅταν ἀφελόντες τι γνώριμον ὄν τί ἐστι, ταύτῃ τῇ προσηγορίᾳ ὀνομάζομεν. λέ-
γω δὴ προσηγορίαν γὰρ, τούτου τοῦτο. οὐ γὰρ γὰρ πηλάτωνα καὶ ἀριστῶνα καθ' αὑτοὺς
λαβὼν καὶ ὀρωτῶν. ἆρά γε οὗτος τούτου ἐστὶ, ταυτὸν λέγει τῷ, ἆρα ὁ πηλάτων υἱός ἐ-
στιν ἀριστῶνος. καὶ οὐ διττὸν ἐνταῦθα γὰρ ἐρώτημα, διὰ γὰρ τὰ ληφθέντα γνώριμα τυγ-
χάνειν, πῶς ἀπαλλήλων εἰσόν. ἔτι γὰρ οὐδὲ γὰρ εἴποτέ τί τινος ἀφελόντες. τοιοῦ-
τόν ἐστι. οὐ γὰρ γὰρ, τούτου τοῦτο λέγεται πολλαχῶς εἴποτέ τινος ἀφελόντες, ση-
μαίνομεν τῇ προσηγορίᾳ τῇ τούτου τοῦτο. καὶ γὰρ εἰπόντες δός μοι γὰρ ἥμισυ τοῦ
ἔπους γὰρ μῆνιν ἄειδε θεά. δυνάμει τῇ σημαίνομεν προσηγορίᾳ τῇ τούτου τοῦτο.
εἰ γὰρ οὖν διττὸν, τοῦτο γὰρ δεῖ προσυπακούειν εἰπόντες δός μοι τούτου τοῦτο, ἤ-
γουν τοῦ στίχου γὰρ ἥμισυ τοῦ ἔπους. οἷον γὰρ, μῆνιν ἄειδε θεά. σημαίνομεν τὴν ἰλιά-
δα, ἤγουν σημαίνομεν, ὅτι δός μοι γὰρ ἥμισυ τῆς ἰλιάδος, ἀνὰ οὐ τοῦτο σημαίνο-
μεν, ἐν δὲ τῇ λέξει, τῇ καὶ γὰρ γὰρ ἥμισυ εἰπόντες δός μοι ὑποστικτέον εἰς γὰρ δός
